61. παραγενηθέντα τὰ ἔθνη καταπατήσωσιν αὐτὰ, ὡς ἐποίησαν τοπρότερον. Καὶ ἐπέταξεν ἐκεῖ
δύναμιν τηρεῖν αὐτὸ, καὶ ὠχύρωσαν αὐτὸ τηρεῖν τὴν Βαιθσοῦραν, τοῦ ἔχειν τὸν λαὸν ὀχύρωμα
κατὰ πρόσωπον τῆς Ἰδουμαίας.

ΚΕΦ. V.

1. ΚΑΙ ἐγένετο ὅτε ἤκουσαν τὰ ἔθνη κυκλόθεν ὅτι ᾠκοδομήθη τὸ θυσιαστήριον, καὶ ἐνεκαινίσθη τὸ
2. ἁγίασμα ὡς τοπρότερον, καὶ ὠργίσθησαν σφόδρα. Καὶ ἐβουλεύσαντο τοῦ ἆραι τὸ γένος Ἰακὼβ
3. τοὺς ὄντας ἐν μέσῳ αὐτῶν, καὶ ἤρξαντο τοῦ θανατοῦν ἐν τῷ λαῷ καὶ ἐξαίρειν. Καὶ ἐπολέμει Ἰού-
δας πρὸς τοὺς υἱοὺς Ἡσαῦ ἐν τῇ Ἰδουμαίᾳ τὴν Ἀκραβαττίνην, ὅτι περιεκάθηντο τὸν Ἰσραὴλ, καὶ
4. ἐπάταξεν αὐτοὺς πληγὴν μεγάλην, καὶ συνέστειλεν αὐτοὺς, καὶ ἔλαβε τὰ σκῦλα αὐτῶν. Καὶ
ἐμνήσθη τῆς κακίας υἱῶν Βαιὰν, οἳ ἦσαν τῷ λαῷ εἰς παγίδα καὶ εἰς σκάνδαλον ἐν τῷ ἐνεδρεύειν
5. αὐτοὺς ἐν ταῖς ὁδοῖς. Καὶ συνεκλείσθησαν ὑπ' αὐτοῦ ἐν τοῖς πύργοις, καὶ παρενέβαλεν ἐπ' αὐ-
τοὺς, καὶ ἀνεθεμάτισεν αὐτοὺς, καὶ ἐνεπύρισε τοὺς πύργους αὐτῆς ἐν πυρὶ σὺν πᾶσι τοῖς ἐνοῦσι.
6. Καὶ διεπέρασεν ἐπὶ τοὺς υἱοὺς Ἀμμὼν, καὶ εὗρε χεῖρα κραταιὰν, καὶ λαὸν πολὺν, καὶ Τιμόθεον
7. ἡγούμενον αὐτῶν. Καὶ συνῆψε πρὸς αὐτοὺς πολέμους πολλοὺς, καὶ συνετρίβησαν πρὸ προσώπου

εμνησθη 106. καὶ κιθάραις] ∧ 19, 64, 93. καὶ κιθάραις καὶ κινύραις] και κινυραις και κυθαραις 62. καὶ κινύραις] εν κινυραις 19. και εν κινυραις 64, 93. ∧ 74. καὶ ἐν κυμβάλοις] ∧ εν 23.

LV. Καὶ ἔπεσον] και επεσεν 56, 93, 106. πᾶς ὁ λαὸς] παντες 71. καὶ προσεκύνησαν] + τον Θεον 71. καὶ εὐλόγησαν &c. ad fin. com.] ∧ 71. εἰς οὐρανὸν] εις τον ουρανον 55, 64, 93. αὐτοῖς] αυτους III, 62, 64, 74.

LVI. τὸν ἐγκαινισμὸν] τον εγκαινιασμον III. τοῦ θυσιαστηρίου] ∧ 44. ἡμέρας ὀκτὼ] ημεραις οκτω 64. μετ' εὐφροσύνης] ∧ 71. καὶ ἔθυσαν &c. ad fin. com.] *et sacrificium salutaris* Vet. Lat. ex MS. S. Germ. θυσίαν σωτηρίου] tr. 106. καὶ αἰνέσεως] και ολοκαυτωσεως και συνεσεως 55. ∧ 71.

LVII. Καὶ κατεκόσμησαν] ∧ και 93. κατεκόσμησαν τὸ] κατεκοσμήσαντο 106. τοῦ ναοῦ] præmitt. του θυσιαστηριου 106. του λαου Alex. καὶ ἐνεκαίνισαν] και ενεκενισεν III. και ενεκαινισε 64.

LVIII. Totum comma deest 71. Καὶ ἐγενήθη] και εγενετο 19, 64, 93. εὐφροσύνη μεγάλη] tr. 64, 93. ὄνειδος ἐθνῶν] ονειδισμος των εθνων 19. ονειδισμος εθνων 23, 62, 93. ὁ ονειδισμος εθνων 64.

LIX. καὶ πᾶσα ἡ ἐκκλησία] ∧ ἡ 44. Compl. Ald. Alex. αἱ ἡμέραι] ∧ 56. ∧ αἱ 62. habet αἱ in charact. minore Alex. ἐγκαινισμοῦ τοῦ θυσιαστηρίου] præmitt. του 23, 55, 64, 93. ἐν τοῖς καιροῖς &c. ad fin. com.] ∧ 71. τοῦ μηνὸς Χασελεῦ] τοῦ ἐννάτου μῆνος 7 Codices Sergii. Χασελεῦ] Χασλευ 93. καὶ χαρᾶς] *et gaudio magno.* Vet. Lat. ubi supra.

LX. ἐν τῷ καιρῷ ἐκείνῳ] ∧ 71. Σιὼν] præmitt. το 93. τείχη ὑψηλὰ] τειχει υψηλω 19, 64, 93. Ald. καὶ πυργοὺς ὀχυροὺς] και πυργους ισχυρους III, 56, 71, 74, 243. Compl. και πυργοις οχυροις 19, 64, 93. καὶ πύργοις ἰσχυροῖς Ald. μήποτε παραγενηθέντα] μηποτε παραγενηθεντες 62. καταπατήσωσιν αὐτά] καταπατηση αυτα 19. καταπατηση αυτην 64. καταπατησει αυτην 93. ὡς ἐποίησαν] ως εποιησε 93. ὡς ἐποίησαν τὸ πρότερον] ∧ 71.

LXI. Καὶ ἐπέταξεν] και απεταξεν 23, 64, 93. και απεταξαν 74. και επεταξαν 106. ἐκεῖ δυνάμιν] ∧ εκει 71. τηρεῖν αὐτὸ] τηρειν αυτην 19, 64, 93. τηρειν αυτα 23. τηρειν αυτω 106. Ald. καὶ ὠχύρωσαν] και ωχυρωσεν 19, 23, 64. ∧ 106. αὐτὸ τηρεῖν] αυτον τηρειν 19. ∧ 55, 106. αυτην τηρειν 64, 93. τὴν Βαιθσοῦραν] την Βαιθσουρα 23, 62. Alex. την Βαιθσουσαν 44. την Βεθσουρα 56, 106. την Βαιθσουρ 64, 93. ὀχύρωμα] θυρωματα 52. τῆς Ἰδουμαίας] της Ιουδαιας 55.

I. Καὶ ἐγένετο] ∧ εγενετο 44. ὅτε ἤκουσαν] οτε ηκουσε 64, 93. ὅτι ᾠκοδομήθη] ∧ ωκοδομηθη 71. τὸ θυσιαστήριον—τοπρότερον] *altare et sanctuarium sicut prius* Vet. Lat. ex MS. S. Germ. τὸ θυσιαστήριον καὶ ἐνεκαινίσθη] ενεκαινισθη το θυσιαστηριον και 71. ὡς τοπρότερον] ∧ 71. καὶ ὠργίσθησαν] και ωργισθη III. ∧ και 44, 71.

II. Καὶ ἐβουλεύσαντο] και εβουλευοντο 23. τοῦ ἆραι] του εξαραι 55. ∧ του 71. τὸ γένος Ἰακὼβ] το σπερμα Ιακωβ 19, 64, 93. τοὺς ὄντας ἐν μέσῳ αὐτῶν] τους εν μεσω αυτων οντας 19, 64, 93. ∧ 71. ἐν μέσῳ αὐτῶν] εν μεσω αυτης 56. τοῦ θανατοῦν] ∧ του 64, 71, 93. τοῦ θανατοῦν &c. ad fin. com.] *persequi et occidere eos.* Vet. Lat. ubi supra. ἐν τῷ λαῷ] τον λαον 44.

III. ἐν τῇ Ἰδουμαίᾳ] εν τη Ιουδαιᾳ III. præmitt. τους 55. τὴν Ἀκραβαττίνην] την Ακραβαττανην 23, 56. την Ακραβαττηνην 64. Alex. ∧ 71. πληγὴν μεγάλην] πληγη μεγαλη 19. τὰ σκῦλα αὐτῶν] τα αγκυλα αυτων III.

IV. υἱῶν Βαιὰν] præmitt. των 64. præmitt. αυτων 93. τῷ λαῷ] præmitt. ἐν 93. εἰς σκάνδαλον] ∧ εις 23. ἐν ταῖς ὁδοῖς] εν τοις ολοις 52. εν τη οδω 106.

V. Καὶ συνεκλείσθησαν] και διεκλεισθησαν III, 44, 62, 74, 243. Compl. και εκλεισθησαν 71. και διεκληθησαν 106. ἐν τοῖς πύργοις] εις τους πυργους 23, 55, 56, 62, 71, 74, 106. Compl. Alex. + αυτης 93. καὶ παρενέβαλεν] και παρεβαλεν III, 56. καὶ παρενέβαλεν—ἐν πυρὶ] *et incendit turres eorum igni* Vet. Lat. ubi supra. τοὺς πύργους αὐτῆς] τους πυργους αυτου 44. τους πυργους αυτων 55, 106. τους πυργους αυτους 71. ἐν πυρὶ] ∧ 23. præmitt. και 106. τοῖς ἐνοῦσι] τοις ενοικουσι 55. τοις εθνεσιν 62.

VI. Καὶ διεπέρασεν] + Ιουδας 64, 93. *Et transiit Judas* Vet. Lat. ubi supra. λαὸν πολὺν] + και χειρα ισχυραν 19, 23, 55, 62, 64, 93. καὶ Τιμόθεον] και Τιμοθεος 19. ἡγούμενον αὐτῶν] ὁ ηγουμενος αυτων 19. ηγουμενων αυτων 62.

VII. Καὶ συνῆψε—προσώπου αὐτοῦ] ∧ cum intermed. 52. καὶ συνετρίβησαν &c. ad fin. com.] *et contrivit eos* Vet. Lat. ubi supra.

Digitized by Google

ὑμεῖς, τέκνα, ἰσχύσατε καὶ ἀνδρίζεσθε ἐν τῷ νόμῳ, ὅτι ἐν αὐτῷ δοξασθήσεσθε. Καὶ ἰδοὺ Συ- ΚΕΦ. II. 65.
μεὼν ὁ ἀδελφὸς ὑμῶν, οἶδα ὅτι ἀνὴρ βουλῆς ἐστιν, αὐτοῦ ἀκούετε πάσας τὰς ἡμέρας, αὐτὸς ὑμῖν ἔσται
εἰς πατέρα. Καὶ Ἰούδας Μακκαβαῖος ἰσχυρὸς δυνάμει ἐκ νεότητος αὐτοῦ, οὗτος ὑμῖν ἔσται ἄρχων 66.
στρατιᾶς, καὶ πολεμήσει πόλεμον λαῶν. Καὶ ὑμεῖς προσάξατε πρὸς ὑμᾶς πάντας τοὺς ποιητὰς 67.
τοῦ νόμου, καὶ ἐκδικήσατε ἐκδίκησιν τοῦ λαοῦ ὑμῶν. Ἀνταπόδοτε ἀνταπόδομα τοῖς ἔθνεσι, καὶ 68.
προσέχετε εἰς τὰ προστάγματα τοῦ νόμου. Καὶ εὐλόγησεν αὐτούς· καὶ προσετέθη πρὸς τοὺς πα- 69.
τέρας αὐτοῦ. Καὶ ἀπέθανεν ἐν τῷ ἕκτῳ καὶ τεσσαρακοστῷ καὶ ἑκατοστῷ ἔτει· καὶ ἔθαψαν αὐτὸν 70.
οἱ υἱοὶ αὐτοῦ ἐν τάφοις πατέρων αὐτῶν ἐν Μωδεΐν, καὶ ἐκόψαντο αὐτὸν πᾶς Ἰσραὴλ κοπετὸν
μέγαν.

ΚΑΙ ἀνέστη Ἰούδας ὁ καλούμενος Μακκαβαῖος, υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. Καὶ ἐβοήθουν αὐτῷ πάντες οἱ ΚΕΦ. III. 1, 2.
ἀδελφοὶ αὐτοῦ, καὶ πάντες ὅσοι ἐκολλήθησαν τῷ πατρὶ αὐτοῦ, καὶ ἐπολέμουν τὸν πόλεμον Ἰσραὴλ
μετ' εὐφροσύνης. Καὶ ἐπλάτυνε δόξαν τῷ λαῷ αὐτοῦ, καὶ ἐνεδύσατο θώρακα ὡς γίγας, καὶ συν- 3.
εζώσατο τὰ σκεύη αὐτοῦ τὰ πολεμικά· καὶ συνεστήσατο πολέμους σκεπάζων παρεμβολὴν ἐν ῥομ-
φαίᾳ. Καὶ ὡμοιώθη λέοντι ἐν τοῖς ἔργοις αὐτοῦ, καὶ ὡς σκύμνος ἐρευγόμενος εἰς θήραν. Καὶ 4. 5.
ἐδίωξεν ἀνόμους ἐξερευνῶν, καὶ τοὺς ταράσσοντας τὸν λαὸν αὐτοῦ ἐφλόγισε. Καὶ συνεστάλησαν οἱ 6.
ἄνομοι ἀπὸ τοῦ φόβου αὐτοῦ, καὶ πάντες οἱ ἐργάται τῆς ἀνομίας συνεταράχθησαν, καὶ εὐωδώθη σω-
τηρία ἐν χειρὶ αὐτοῦ. Καὶ ἐπίκρανε βασιλεῖς πολλοὺς, καὶ εὔφρανε τὸν Ἰακὼβ ἐν τοῖς ἔργοις αὐ- 7.
τοῦ, καὶ ἕως τοῦ αἰῶνος τὸ μνημόσυνον αὐτοῦ εἰς εὐλογίαν. Καὶ διῆλθεν ἐν πόλεσιν Ἰούδα, καὶ 8.
ἐξωλόθρευσεν ἀσεβεῖς ἐξ αὐτῆς, καὶ ἀπέστρεψεν ὀργὴν ἀπὸ Ἰσραήλ. Καὶ ὠνομάσθη ἕως ἐσχάτου 9.
τῆς γῆς, καὶ συνήγαγεν ἀπολλυμένους. Καὶ συνήγαγεν Ἀπολλώνιος ἔθνη, καὶ ἀπὸ Σαμαρείας 10.
δύναμιν μεγάλην τοῦ πολεμῆσαι πρὸς Ἰσραήλ. Καὶ ἔγνω Ἰούδας, καὶ ἐξῆλθεν εἰς συνάντησιν 11.
αὐτῷ, καὶ ἐπάταξεν αὐτὸν, καὶ ἀπέκτεινεν αὐτόν· καὶ ἔπεσον τραυματίαι πολλοὶ, καὶ οἱ ἐπίλοι-

υπεστρεψεν 55. εις το επεστρεψεν (sic) 106. ἀπώλετο] απολειται 19, 23, 52, 62, 64, 93.

LXIV. ἰσχύσατε] ισχυετε 64. Alex. ἰσχύσατε καὶ ἀνδρίζεσθε] ανδριζεσθε και ισχυσατε 23. ἐν τῷ—δοξασθήσεσθε] ∧ cum intermed. 71. ἐν τῷ νόμῳ] + ημων 55. + υμων 56. Alex. ὅτι ἐν αὐτῷ] οτι αυτοι 52.

LXV. Καὶ ἰδοὺ Συμεὼν] και ιδου Σιμων 64. ὁ ἀδελφὸς ὑμῶν] ο αδελφος ημων 93. ἀνὴρ βουλῆς] ανηρ βουλευτης 19, 62, 106. *vir boni consilii* Vet. Lat. ex MS. S. Germ. αὐτοῦ ἀκούετε—ἡμέρας] *illum audite* Vet. Lat. ubi supra. ὑμῖν ἔσται] εσται υμων 23. tr. 55. ημιν εσται 62. εἰς πατέρα] + και εις αρχοντα 19, 52, 62. πατηρ 23. εις αρχοντα 64, 93.

LXVI. Καὶ Ἰούδας Μακκαβαῖος] και Ιουδας ο Μακκαβαιος 64. Alex. και Ιουδαιος ο Μακκαβαιος 106. ἰσχυρὸς] præmitt. αυτος 23, 44, 55, 62, 74, 106, 243. Compl. Ald. Alex. δυνάμει] ἐν δυνάμει Alex. ἐκ νεότητος—ὑμῖν] ∧ cum intermed. 71. οὗτος ὑμῖν ἔσται] αυτος υμιν εσται 62. ουτως υμιν εστω 93. ἄρχων στρατίας] εις αρχοντα στρατιας 19, 55, 56, 62, 106. Alex. καὶ πολεμήσει] και πολεμησετε 52, 55, 62, 74, 106. Compl. Ald. Alex. πόλεμον λαῶν] πολεμους λαων 19, 64, 93. υπερ λαου 71. *bellum* Vet. Lat. ubi supra.

LXVII. Καὶ ὑμεῖς] ∧ υμεις 44. προσάξατε] προσαξετε III, 23, 44, 56, 74. Compl. προσαγαγετε 19, 64, 93. καὶ ἐκδικήσατε] ∧ ἐκδικήσατε Compl.

LXVIII. Comma integrum deest 71. Ἀνταπόδοτε] ἀνταποδίδοτε Alex. εἰς τὰ προστάγματα] εις το προσταγμα 55, 56. εις προσταγμα 106. ∧ τὰ Alex. τοῦ νόμου] + και εκδικησατε εκδικησιν του λαου ημων 19.

LXIX. αὐτοὺς] αυτοις 93.

LXX. Καὶ ἀπέθανεν] + Ματταθιας 19, 64, 93. Καὶ ἀπέθανεν—ἔτει] ∧ cum intermed. 71. ἐν τῷ ἕκτῳ] ∧ εν 55. καὶ τεσσαρακοστῷ] ∧ και 106. καὶ ἑκατοστῷ ἔτει] + της βασιλειας 19, (56. marg.) 64, 93. ∧ και 106. καὶ ἔθαψαν αὐτὸν οἱ υἱοὶ αὐτοῦ] *et sepultus est* Vet. Lat. ubi supra. οἱ υἱοὶ αὐτοῦ] οι υιοι αυτων 74. οἱ υἱοὶ αὐτοῦ ἐν τάφοις πατέρων αὐτῶν] ∧ 71. ἐν τάφοις] εν ταφω 19. εν τω ταφω 64, 93. πατέρων αὐτῶν] πατερων αυτου 19, 23, 55, 56, 62, 74, 106. Compl. Alex. των πατερων αυτου 64, 93. ἐν Μωδεΐν] εν Μωδεειμ 19, 64, 93. εν Μοδειμ 23. εν Μωδεειν 56. Alex. καὶ ἐκόψαντο &c. ad fin. com.] ∧ 71. πᾶς Ἰσραὴλ κοπετὸν μέγαν] κοπετον μεγαν πας Ισραηλ 106.

I. Καὶ ἀνέστη Ἰούδας] ανεστη δε Ιουδας 44. και ανεστη Ιουδαιος 106.

II. Καὶ ἐβοήθουν αὐτῷ] και εβοηθουν αυτον 23. πάντες οἱ ἀδελφοὶ] ∧ παντες 19. καὶ πάντες] ∧ παντες 44. ὅσοι ἐκολλήθησαν] οσοι ηκολουθησαν 64.

III. Καὶ ἐπλάτυνε] + Ιουδας 19, 55, 64, 93. και επλατυναν 106. *Et dilatavit Judas* Vet. Lat. ex MS. S. Germ. τῷ λαῷ αὐτοῦ] τω λογω αυτου 23. μετα του λαου αυτου 55. αὐτοῦ τὰ πολεμικά] τα πολεμικα αυτου 44, 55, 56, 62, 71, 106, 243. Compl. Alex. καὶ συνεστήσατο πολέμους] και πολεμον συνεστησατο 55. και πολεμους συνεστησατο 56, 62. (Alex. cum καὶ in charact. minore.) sic, sine και, 71, 74, 106, 243. Compl. και συνεστησεν τον πολεμον 93. πολέμους καὶ συνεστήσατο Ald. παρεμβολὴν ἐν ῥομφαίᾳ] ρομφαιαν εν πολεμω 23.

IV. ἐρευγόμενος] ρυομενος 55. εἰς θήραν] ∧ εις 71.

V. ἐξερευνῶν] εξελαυνων 52. καὶ τοὺς ταράσσοντας &c. ad fin. com.] *qui conturbabant populum suum:* Vet. Lat. ubi supra. τὸν λαὸν αὐτοῦ] habet λαὸν in char. min. Alex. ἐφλόγισε] εφλογιζεν 55.

VI. οἱ ἄνομοι] ∧ οἱ 44, 64, 93. ἀπὸ τοῦ φόβου αὐτοῦ] απο του φορου αυτου 71. ἀπὸ τοῦ φόβου αὐτῶν Ald. συνεταράχθησαν] εταραχθησαν 19, 64, 93. καὶ εὐωδώθη] και κατευοδωθη 55. και ευοδωθησαν 93. σωτηρία] præmitt. ἡ 62. σωτηρία &c. ad fin. com.] ∧ 93.

VII. Καὶ ἐπίκρανε] και επικραναν III. ∧ και 93. βασιλεῖς πολλοὺς] ∧ 93. καὶ εὔφρανε τὸν Ἰακὼβ] και ευφρανε τον Ισραηλ 19, 64. τον Ισραηλ tantum 93.

VIII. ἀσεβεῖς] βασιλεις 64. ἐξ αὐτῆς] επ' αυτης III. εξ αυτων 19, 56, 64, 93.

IX. τῆς γῆς] ∧ της 93.

X. Καὶ συνήγαγεν] præmitt. και συνηγαγεν απολλυμενους 19. (23. delet. m. rec.) ἔθνη] ∧ 19. πρὸς Ἰσραὴλ] προς τον Ισραηλ 64. τον Ισραηλ 93.

XI. εἰς συνάντησιν αὐτῷ] εις συναντησιν αυτων 23, 64. εις απαντησιν αυτω 44. εις συναντησιν αυτου 93. καὶ ἀπέκτεινεν αὐτὸν] ∧ αυτον 23, 44, 55, 62, 71, 74, 243. Compl. Alex. καὶ οἱ ἐπίλοιποι] και οι λοιποι 64.

Digitized by Google

12. ποι ἔφυγον. Καὶ ἔλαβε τὰ σκῦλα αὐτῶν, καὶ τὴν μάχαιραν Ἀπολλωνίου ἔλαβεν Ἰούδας, καὶ ἦν
13. πολεμῶν ἐν αὐτῇ πάσας τὰς ἡμέρας. Καὶ ἤκουσε Σήρων ὁ ἄρχων τῆς δυνάμεως Συρίας, ὅτι ἤθροι-
14. σεν Ἰούδας ἄθροισμα, καὶ ἐκκλησίαν πιστῶν μετ' αὐτοῦ ἐκπορευομένων εἰς πόλεμον, Καὶ εἶπε,
Ποιήσω ἐμαυτῷ ὄνομα καὶ δοξασθήσομαι ἐν τῇ βασιλείᾳ, καὶ πολεμήσω τὸν Ἰούδαν καὶ τοὺς σὺν
15. αὐτῷ, τοὺς ἐξουδενοῦντας τὸν λόγον τοῦ βασιλέως. Καὶ προσέθετο τοῦ ἀναβῆναι· καὶ ἀνέβη μετ'
αὐτοῦ παρεμβολὴ ἀσεβῶν ἰσχυρὰ βοηθῆσαι αὐτῷ, καὶ ποιῆσαι τὴν ἐκδίκησιν ἐν υἱοῖς Ἰσραήλ.
16. 17. Καὶ ἤγγισαν ἕως ἀναβάσεως Βαιθωρῶν· καὶ ἐξῆλθεν Ἰούδας εἰς συνάντησιν αὐτῶν ὀλιγοστός. Ὡς
δὲ ἴδον τὴν παρεμβολὴν ἐρχομένην εἰς συνάντησιν αὐτοῖς, εἶπον τῷ Ἰούδᾳ, Πῶς δυνησόμεθα ὀλιγο-
στοὶ ὄντες πολεμῆσαι πρὸς πλῆθος τοσοῦτον ἰσχυρόν; καὶ ἡμεῖς ἐκλελύμεθα ἀσιτοῦντες σήμερον.
18. Καὶ εἶπεν Ἰούδας, Εὔκοπόν ἐστι συγκλεισθῆναι πολλοὺς ἐν χερσὶν ὀλίγων· καὶ οὐκ ἔστι διαφορὰ
19. ἐναντίον τοῦ Θεοῦ τοῦ οὐρανοῦ σώζειν ἐν πολλοῖς ἢ ἐν ὀλίγοις. Ὅτι οὐκ ἐν πλήθει δυνάμεως νίκη
20. πολέμου ἐστὶν, ἀλλ' ἢ ἐκ τοῦ οὐρανοῦ ἡ ἰσχύς. Αὐτοὶ ἔρχονται πρὸς ἡμᾶς ἐν πλήθει ὕβρεως καὶ
21. ἀνομίας, τοῦ ἐξᾶραι ἡμᾶς καὶ τὰς γυναῖκας ἡμῶν καὶ τὰ τέκνα ἡμῶν, τοῦ σκυλεῦσαι ἡμᾶς. Ἡμεῖς
22. δὲ πολεμοῦμεν περὶ τῶν ψυχῶν ἡμῶν καὶ τῶν νομίμων ἡμῶν. Καὶ αὐτὸς συντρίψει αὐτοὺς πρὸ
23. προσώπου ἡμῶν· ὑμεῖς δὲ μὴ φοβηθῆτε ἀπ' αὐτῶν. Ὡς δὲ ἐπαύσατο λαλῶν, ἐνήλατο εἰς αὐτοὺς
24. ἄφνω, καὶ συνετρίβη Σήρων καὶ ἡ παρεμβολὴ αὐτοῦ ἐνώπιον αὐτοῦ. Καὶ ἐδίωκον αὐτὸν ἐν τῇ κατα-
βάσει Βαιθωρῶν ἕως τοῦ πεδίου· καὶ ἔπεσον ἀπ' αὐτῶν εἰς ἄνδρας ὀκτακοσίους· οἱ δὲ λοιποὶ ἔφυγον
25. εἰς γῆν Φυλιστιείμ. Καὶ ἤρξατο ὁ φόβος Ἰούδα καὶ τῶν ἀδελφῶν αὐτοῦ καὶ ἡ πτόησις ἐπιπίπτειν
26. ἐπὶ τὰ ἔθνη τὰ κύκλῳ αὐτῶν. Καὶ ἤγγισεν ἕως τοῦ βασιλέως τὸ ὄνομα αὐτοῦ, καὶ ὑπὲρ τῶν
27. παρατάξεων Ἰούδα ἐξηγεῖτο πᾶν ἔθνος. Ὡς δὲ ἤκουσεν Ἀντίοχος ὁ βασιλεὺς τοὺς λόγους τού-
τους, ὠργίσθη θυμῷ· καὶ ἀπέστειλε καὶ συνήγαγε τὰς δυνάμεις πάσας τῆς βασιλείας αὐτοῦ,
28. παρεμβολὴν ἰσχυρὰν σφόδρα. Καὶ ἤνοιξε τὸ γαζοφυλάκιον αὐτοῦ, καὶ ἔδωκεν ὀψώνια ταῖς δυνά-

XII. Καὶ ἔλαβε] και ελαβον 19, 56. Alex. τὰ σκῦλα] τα οπλα 56. τὰ σκεύη Alex.

XIII. Καὶ ἤκουσε Σήρων] και ηκουσεν Ηρων 64. και ηκουσε Συρων 71. μετ' αὐτοῦ] μεθ' εαυτου 106. μετ' αὐτοῦ &c. ad fin. com.] *secum*, Vet. Lat. ex MS. S. Germ. ἐκπορευομένων] præmitt. και 44, 56, 62, 74, 106, 243. Compl. Ald. Alex. εἰς πόλεμον] + εν αυτη πασας τας ημερας (cum πασας &c. punctis notat.) 93.

XIV. Καὶ εἶπε] ∧ και 44. Ποιήσω ἐμαυτῷ] ποιησω εν αυτω 64, 93. τὸν Ἰούδαν] τον Ιουδα 93. τοὺς ἐξουδενοῦντας] ∧ τους 23. præmitt. και 44, 71, 74, 106, 243. Compl. Ald. Alex.

XV. Καὶ προσέθετο—ἰσχυρὰ] *Et ascenderunt cum eo in castra impiorum fortes* Vet. Lat. ubi supra. τοῦ ἀναβῆναι] ∧ 23, 52, 56, 62, 71, 74, 106, 243. Compl. habet in charact. minore Alex. μετ' αὐτοῦ—ἰσχυρὰ] παρεμβολη ασεβων ισχυρα μετ' αυτου 62. ἀσεβῶν ἰσχυρὰ] tr. 19, 64, 93. + μετ' αυτου 23. βοηθῆσαι αὐτῷ] præmitt. του 19. καὶ ποιῆσαι] ∧ και 44, 62, 71, 74, 106, 243. Compl. habet καὶ in charact. minore Alex. τὴν ἐκδίκησιν] ∧ την 64, 93.

XVI. Καὶ ἤγγισαν] και ηγγισεν 19, 44, 56, 62, 64, 71, 74, 93, 106, 243. Compl. Ald. Alex. Βαιθωρῶν] Μετωρων III. Θωρων (sic infra) 44. εἰς συνάντησιν αὐτῶν] εις συναντησιν αυτω 19, 55, 56, 74, 106, 243. Compl. Ald. Alex. εις συναντησιν αυτου 44, 93. εις συναντησιν αυτοις 64. αὐτῶν ὀλιγοστός] ∧ 71.

XVII. Ὡς δὲ ἴδον] ως δε ειδον 19, 44, 64, 74. Compl. Ald. ως δε ειδε 106. Ὡς δὲ ἴδον—συνάντησιν] ∧ cum intermed. 71. τὴν παρεμβολὴν] præmitt. οἱ μετα Ιουδα 19, 64. (93. scr. ἡ μετα.) ἐρχομένην] præmitt. την 19, 64, 93. εἰς συνάντησιν αὐτοῖς] εις συναντησιν αυτω III, (23. corr. αυτων m. rec.) 62, 106. εις συναντησιν αυτων 19, 55, 56, 64, 93. εἶπον] ειπαν 55, 56, 106. Alex. και ειπον (ex corr. olim ειπων) 71. Πῶς δυνησόμεθα] τι δυνησομεθα 23, 44, 55, 62, 71, 74. Compl. Ald. Alex. οὐ δυνησομεθα 56. οτι οὐ δυνησομεθα (οὐ inter lin. ab al. m.) 106. ὀλιγοστοὶ ὄντες] ὀλίγοι ὄντες Compl. τοσοῦτον ἰσχυρόν] τοσοῦτο ἰσχυρόν Compl. (Alex. cum ἰσχυρόν in charact. minore.) καὶ ἡμεῖς &c. ad fin. com.] ∧ 52.

XVIII. διαφορὰ] διαφθορα 93. ἐναντίον—οὐρανοῦ] *in conspectum cœli* Vet. Lat. ubi supra. ἐναντίον τοῦ Θεοῦ] ∧ του Θεου 44, 71, 74, 106, 243. Compl. Ald. εναντιον του Κυριου 55. Θεοῦ τοῦ οὐρανοῦ] habet Θεοῦ τοῦ in charact. minore Alex.

XIX. νίκη πολέμου] νικη πολεμους 62. ἀλλ' ἢ] ∧ η 19, 23, 93. ἀλλ' ἡ 106. ἐκ τοῦ οὐρανοῦ] εκ του Θεου του ουρανου 55. εκ του ουρανιου 64. ἡ ἰσχύς] ∧ ἡ 44, 74, 106. Compl. Alex. + αυτου 56.

XX. Αὐτοὶ ἔρχονται] ∧ αυτοι 56. πρὸς ἡμᾶς] εις ημας 19. εφ' ημας 64. εφ' υμας 93. ἐν πλήθει] ∧ εν 44, 62, 74, 106. Compl. habet ἐν in charact. min. Alex. καὶ τὰς γυναῖκας ἡμῶν] ∧ ημων 44. καὶ τὰ τέκνα ἡμῶν] ∧ ημων 71. τοῦ σκυλεῦσαι] και σκυλευσαι 71.

XXI. περὶ τῶν ψυχῶν] υπερ των ψυχων 106.

XXII. Καὶ αὐτὸς συντρίψει] και Κυριος συντριψει 19, 93. και αυτος Κυριος συντριψει 55. και συντριψει Κυριος 64. *et ipse Dominus conteret* Vet. Lat. ubi supra. Vulg. Καὶ αὐτὸς συντρίψει—ἡμῶν] ∧ cum intermed. 74. πρὸ προσώπου αὐτῶν] κατὰ προσώπου αὐτῶν Ald. ὑμεῖς &c. ad fin. com.] ∧ 71.

XXIII. λαλῶν] præmitt. Ιουδας 19, 64, 93. + τους λογους τουτους 55. ∧ 71. ἐνήλατο] ενηλλετο 19. ἐνήλατο &c.] ἐκίνει τὴν φάλαγγα ἐκ τοῦ τόπου Codex unus Sergii. εἰς αὐτοὺς ἄφνω] επ' αυτους αφνω 62, 64. Alex. καὶ συνετρίβη Σήρων] και συνετριβησαν Σηρων 23. και συνετριβη Ηρων 64. και συνετριβη Συρος 71. ἐνώπιον αὐτοῦ] ενωπιον αυτων 62. ∧ 93.

XXIV. Καὶ ἐδίωκον αὐτὸν] και εδιωκον αυτους 23, 44, 55, 62, 71, 74, 106, 243. Compl. Ald. Alex. και ὁ λαος αυτου 56. + οἱ περι τον Ιουδαν 64. ∧ 93. ἐν τῇ καταβάσει] præmitt. οἱ περι τον Ιουδαν 19. (93. scr. περι των.) εν τη βασει 55. *in deserto* Vet. Lat. ubi supra. ἕως τοῦ πεδίου] præmitt. και 55. καὶ ἔπεσον] και επεσαν 55. και απεκτειναν 56. ἀπ' αὐτῶν] εξ αυτων 44, 55. εἰς ἄνδρας ὀκτακοσίους] ανδρες οκτακοσιοι 44. εν εκεινη τη ημερα εις ανδρας οκτακισχιλιους 55. ὡς ἄνδρες ὀκτακόσιοι Compl. εἰς γῆν Φυλιστιείμ] εκ γης Φυλιστιειμ 56.

XXV. Καὶ ἤρξατο—ἐπιπίπτειν] *Et cecidit timor Judæ, et fratrum ejus* Vet. Lat. ubi supra. καὶ τῶν ἀδελφῶν αὐτοῦ] ∧ 19. καὶ ἡ πτόησις] και ἡ πτοια αυτων 19. και ἡ πτοη 23, 44, 62, 71, 74, 106, 243. Compl. Alex. + αυτων 64. και ἡ πτοη αυτων 93. ἐπιπίπτειν] επιπτεν III, 23, 56, 106. επιπιπτει 93. ἐπὶ τὰ ἔθνη] *super omnes gentes* Vet. Lat. ubi supra. Vulg. τὰ κύκλῳ αὐτῶν] τα κυκλω αυτου 44.

XXVI. καὶ ὑπὲρ τῶν &c. ad fin. com.] *et propter prælia Juda exspectabat gentes.* Vet. Lat. ubi supra. τῶν παρατάξεων] των πραξεων 93. ἐξηγεῖτο] εξητειτο 106. πᾶν ἔθνος] απαν εθνος 44. τα εθνη 64, 93.

XXVII. τὰς δυνάμ. πάσ.] πασας τας δυναμεις 19, 64, 93. τας δυναμεις πασης 62. τας δυναμεις αυτου πασας 71. τῆς βασιλείας αὐτοῦ] ∧ 71. ἰσχυρὰν σφόδρα] Ισραηλ σφοδρα 93.

XXVIII. καὶ ἔδωκεν] και εκοψεν 44. ταῖς δυνάμεσιν αὐτοῦ] ∧ αυ-

ΚΕΦ. III.

ἐπληθύνθη τὰ κακὰ, καὶ αἱ δυνάμεις παρεμβάλλουσιν ἐν τοῖς ὁρίοις αὐτῶν· καὶ ἐπέγνωσαν τοὺς
43. λόγους τοῦ βασιλέως οὓς ἐνετείλατο ποιῆσαι τῷ λαῷ εἰς ἀπώλειαν καὶ συντέλειαν· Καὶ εἶπεν ἕκα-
στος πρὸς τὸν πλησίον αὐτοῦ, Ἀναστήσωμεν τὴν καθαίρεσιν τοῦ λαοῦ ἡμῶν, καὶ πολεμήσωμεν περὶ
44. τοῦ λαοῦ ἡμῶν καὶ τῶν ἁγίων. Καὶ συνηθροίσθη ἡ συναγωγὴ τοῦ εἶναι ἑτοίμους εἰς πόλεμον, καὶ
45. τοῦ προσεύξασθαι, καὶ αἰτῆσαι ἔλεον καὶ οἰκτιρμούς. Καὶ Ἱερουσαλὴμ ἦν ἀοίκητος ὡς ἔρημος, οὐκ
ἦν ὁ εἰσπορευόμενος καὶ ἐκπορευόμενος ἐκ τῶν γεννημάτων αὐτῆς· καὶ τὸ ἁγίασμα καταπατούμε-
νον, καὶ υἱοὶ ἀλλογενῶν ἐν τῇ ἄκρᾳ, κατάλυμα τοῖς ἔθνεσι· καὶ ἐξήρθη τέρψις ἐξ Ἰακὼβ, καὶ
46. ἐξέλιπεν αὐλὸς καὶ κινύρα. Καὶ συνήχθησαν, καὶ ἤλθοσαν εἰς Μασσηφὰ κατέναντι Ἱερουσαλὴμ,
47. ὅτι τόπος προσευχῆς εἰς Μασσηφὰ τὸ πρότερον τῷ Ἰσραήλ. Καὶ ἐνήστευσαν τῇ ἡμέρᾳ ἐκείνῃ,
καὶ περιεβάλοντο σάκκους καὶ σποδὸν ἐπὶ τὰς κεφαλὰς αὐτῶν, καὶ διέῤῥηξαν τὰ ἱμάτια αὐτῶν.
48. Καὶ ἐξεπέτασαν τὸ βιβλίον τοῦ νόμου, περὶ ὧν ἐξηρεύνων τὰ ἔθνη τὰ ὁμοιώματα τῶν εἰδώλων αὐ-
49. τῶν. Καὶ ἤνεγκαν τὰ ἱμάτια τῆς ἱερωσύνης, καὶ τὰ πρωτογεννήματα, καὶ τὰς δεκάτας· καὶ ἤγει-
50. ραν τοὺς Ναζιραίους, οἳ ἐπλήρωσαν τὰς ἡμέρας. Καὶ ἐβόησαν φωνῇ εἰς τὸν οὐρανὸν, λέγοντες, Τί
51. ποιήσωμεν τούτοις, καὶ ποῦ αὐτοὺς ἀπαγάγωμεν; Καὶ τὰ ἅγιά σου καταπεπάτηται, καὶ βεβήλω-
52. ται, καὶ οἱ ἱερεῖς σου ἐν πένθει καὶ ταπεινώσει. Καὶ ἰδοὺ τὰ ἔθνη συνῆκται ἐφ' ἡμᾶς τοῦ ἐξᾶραι
53. ἡμᾶς· σὺ οἶδας ἃ λογίζονται ἐφ' ἡμᾶς. Πῶς δυνησόμεθα ὑποστῆναι κατὰ πρόσωπον αὐτῶν, ἐὰν
54. 55. μὴ σὺ βοηθήσῃς ἡμῖν; Καὶ ἐσάλπισαν ταῖς σάλπιγξι, καὶ ἐβόησαν φωνῇ μεγάλῃ. Καὶ μετὰ
τοῦτο κατέστησεν Ἰούδας ἡγουμένους τοῦ λαοῦ, χιλιάρχους, καὶ ἑκατοντάρχους, καὶ πεντηκοντάρχους,
56. καὶ δεκάρχους. Καὶ εἶπον τοῖς οἰκοδομοῦσιν οἰκίας, καὶ μνηστευομένοις γυναῖκας, καὶ φυτεύουσιν
57. ἀμπελῶνας, καὶ δειλοῖς, ἀποστρέφειν ἕκαστον εἰς τὸν οἶκον αὐτοῦ, κατὰ τὸν νόμον. Καὶ ἀπῆρεν ἡ
58. παρεμβολὴ, καὶ παρενέβαλε κατὰ Νότον Ἐμμαοὺμ. Καὶ εἶπεν Ἰούδας, Περιζώσασθε, καὶ γίνε-
σθε εἰς υἱοὺς δυνατοὺς, καὶ γίνεσθε ἕτοιμοι εἰς τοπρωῒ τοῦ πολεμῆσαι ἐν τοῖς ἔθνεσι τούτοις, τοῖς
59. ἐπισυνηγμένοις ἐφ' ἡμᾶς ἐξᾶραι ἡμᾶς, καὶ τὰ ἅγια ἡμῶν. Ὅτι κρεῖσσον ἡμᾶς ἀποθανεῖν ἐν τῷ
60. πολέμῳ, ἢ ἐπιδεῖν ἐπὶ τὰ κακὰ τοῦ ἔθνους ἡμῶν καὶ τῶν ἁγίων. Ὡς δ' ἂν ᾖ θέλημα ἐν οὐρανῷ,
οὕτω ποιήσει.

XLII. καὶ αἱ δυνάμεις] ∧ αἱ 106. παρεμβάλλουσιν] + επ' αυτους 52. παρεμβαλουσιν 106. καὶ ἐπέγνωσαν] και εγνωσαν 56. τοῦ βασιλέως] της βασιλειας III. τῷ λαῷ] + Ισραηλ 56.

XLIII. Καὶ εἶπεν ἕκαστος] και ειπαν εκαστος 56, 106. Alex. και ειπον εκαστος 62. πρὸς τὸν πλησίον αὐτοῦ] τω πλησιον αυτω 44. Ἀναστήσωμεν] αναστησομεν 93. Ἀναστήσωμεν—ἡμῶν 1°] *Suscitemus regnationem populi nostri*, Vet. Lat. ex MS. S. Germ. καὶ πολεμήσωμεν—ἡμῶν 2°] ∧ cum intermed. 23, 52, 62. habet in charact. minore Alex. περὶ τοῦ λαοῦ ἡμῶν] υπερ του λαου ημων 106.

XLIV. Καὶ συνηθροίσθη] και ηθροισθη 23, 44, 55, 56, 62, 71, 74, 106, 243. Compl. Ald. καὶ ἠθροίσθησαν Alex. ἡ συναγωγὴ] + πασα 55. καὶ αἰτῆσαι ἔλεον] και αιτησαι ελεος 23.

XLV. Καὶ Ἱερουσαλὴμ ἦν] και ἦν Ιερουσαλημ 19, 64, 93. οὐκ ἦν—γεννημ. αὐτῆς] *et non erat qui ingrederetur de generationibus ejus:* Vet. Lat. ubi supra. ὁ εἰσπορευόμενος] ∧ ὁ 44. καὶ ἐκπορευόμενος] ∧ 23, 71. και ὁ εκπορευομενος 106. καταπατούμενον] καταπονουμενον 52. καὶ υἱοὶ ἀλλογενῶν] και οἱ υιοι αλλογενων 93. κατάλυμα] καταλειμμα 52. καταλυματος 93. τοῖς ἔθνεσι] præmitt. εν 44, 52, 55, 56, 62, 71, 74, 106, 243. Compl. Ald. Alex. ∧ τοις 93. καὶ ἐξήρθη] και επικρανθη 64. τέρψις] τερψεις 93.

XLVI. Καὶ συνήχθησαν] και συνηλθοσαν 62. καὶ ἤλθοσαν] και ηλθον 23, 44, 64. ∧ 55. και εισηλθον 93. προσευχῆς] + ην 19, 23, 64, 93. εἰς Μασσηφὰ 2°] ἦν Μασσηφα 56. τω Μασσηφα 106.

XLVII. τῇ ἡμέρᾳ ἐκείνῃ] præmitt. εν 55, 64. καὶ περιεβάλοντο] και περιεβαλλοντο 44, 74. καὶ σποδὸν] και σποδος 19. και επεθεντο σποδον 55. ἐπὶ τὰς κεφαλὰς] επι την κεφαλην (19. ut videtur) 23, 64, 93. καὶ διέῤῥηξαν] και ερρηξαν 55. καὶ διέῤῥηξαν &c. ad fin. com.] ∧ 52. *et distulerunt vestimenta sua:* Vet. Lat. ubi supra.

XLVIII. ἐξηρεύνων τὰ ἔθνη] εξηρευνα τα εθνη 19, 64, 93. τὰ ἔθνη] + του επιγραφειν επ' αυτων 55, 74, 243. Compl. Ald. + του επιγραφειν εαυτων 71. τὰ ὁμοιώματα] + αυτων 52. τῶν εἰδώλων αὐτῶν] præmitt. και 52.

XLIX. καὶ τὰ πρωτογεννήματα] και τα πρωτογενηματων 44. τα τε πρωτογεννηματα 64, 93. καὶ ἤγειραν] και εκειραν 55. και ηνεγκαν 93. τοὺς Ναζιραίους] τους Ναζαραιους 23. τους Ναζηραιους 44, 93. Compl. ἐπλήρωσαν τὰς ἡμέρας] præmitt. και 19.

L. φωνῇ] + μεγαλη 52, 93. Τί ποιήσωμεν] τι ποιησομεν 106. ἀπαγάγωμεν] απαγωμεν 44. αγαγομεν 93. απαγαγομεν 106.

LI. Καὶ τὰ ἅγιά σου] οτι τα αγια σου 106. καταπεπάτηται] καταπεπατηνται 55, 56. καὶ βεβήλωται] και βεβηλωνται 55, 56. ∧ 71. καὶ οἱ ἱερεῖς] ∧ και 23. ἐν πένθει] εν πενθησει 106.

LII. καὶ ἰδοὺ] ∧ και 44. ∧ ιδου 93. ἐφ' ἡμᾶς] ∧ 44. τοῦ ἐξᾶραι] ∧ του 55. τοῦ ἐξᾶραι &c. ad fin. com.] ∧ 52, 106. ἃ λογίζονται] ἃ διαλογιζονται 19.

LIII. ὑποστῆναι] αντιστηναι 64.

LIV. Καὶ ἐσάλπισαν &c. ad fin. com.] *Et tubis cecinerunt fortiter.* Vet. Lat. ubi supra.

LV. Καὶ μετὰ τοῦτο] ∧ μετα τουτο 44. καὶ ἑκατοντάρχους] ∧ 52. καὶ πεντηκοντάρχους] ∧ 62. καὶ δεκάρχους] ∧ 19, 64, 93. και δεκαδαρχους 62. Alex.

LVI. Καὶ εἶπον] και ειπε 56, 64, 74. Alex. και ειπαν 106. Compl. *Dixitque* Vet. Lat. ubi supra. οἰκίας] οικιαν III. εἰς τὸν οἶκον αὐτοῦ] εις τον τοπον αυτου 74. κατὰ τὸν νόμον] *secundum legem Mosi.* Vet. Lat. ubi supra.

LVII. καὶ παρενέβαλε] και παρενεβαλον 23, 62. και παρενεβαλοσαν 56, 71, 74, 106, 243. Compl. Alex. κατὰ Νότον Ἐμμαοὺμ] κατα Νοτον Εμμαους 23, 44. κατα τον νομον Αμμαουμ 52. κατα Νοτου Εμμαουμ 56. κατα τον Νοτον Εμμαουμ 93. κατα Νοτον Αμμαουμ 106. κατὰ Νότου Ἀμμαοὺμ Alex.

LVIII. Περιζώσασθε] *Accingite vos viri fratres* Vet. Lat. ubi supra. καὶ γίνεσθε 1°] και γενεσθε III. ∧ 93. γίνεσθε 1°—γίνεσθε 2°] ∧ alterutr. cum intermed. 62, 106. καὶ γίνεσθε 2°] και γενεσθε 74. τοῖς ἐπισυνηγμ.] ∧ τοῖς Compl.

LIX. ἐν τῷ πολέμῳ] ∧ τῳ 44. Alex. ∧ 93. ἢ ἐπιδεῖν] ἢ εφιδειν III, 56, 106. ∧ 93. ἐπὶ τὰ κακὰ] ∧ ἐπὶ Compl. τοῦ ἔθνους ἡμῶν] ∧ ημων 19.

LX. ἐν οὐρανῷ] εν τω ουρανω 106. οὕτω ποιήσει] οὕτω ποιήσῃ Compl. *sic fiat.* Vet. Lat. ubi supra. Vulg.

Digitized by Google

# ΜΑΚΚΑΒΑΙΩΝ. Α.

ΚΕΦ. IV.

ΚΑΙ παρέλαβε Γοργίας πεντακισχιλίους ἄνδρας καὶ χιλίαν ἵππον ἐκλεκτὴν, καὶ ἀπῆρεν ἡ παρ- 1.
εμβολὴ νυκτὸς, Ὥστε ἐπιβαλεῖν ἐπὶ τὴν παρεμβολὴν τῶν Ἰουδαίων, καὶ πατάξαι αὐτοὺς ἄφνω· καὶ 2.
οἱ υἱοὶ τῆς ἄκρας ἦσαν αὐτῷ ὁδηγοί. Καὶ ἤκουσεν Ἰούδας, καὶ ἀπῆρεν αὐτὸς καὶ οἱ δυνατοὶ πα- 3.
τάξαι τὴν δύναμιν τοῦ βασιλέως τὴν ἐν Ἐμμαοὺμ, Ἕως ἔτι αἱ δυνάμεις ἐσκορπισμέναι ἦσαν ἀπὸ τῆς 4.
παρεμβολῆς. Καὶ ἦλθε Γοργίας εἰς τὴν παρεμβολὴν Ἰούδα νυκτὸς, καὶ οὐδένα εὗρε· καὶ ἐζήτει 5.
αὐτοὺς ἐν τοῖς ὄρεσιν, ὅτι εἶπε, Φεύγουσιν οὗτοι ἀφ' ἡμῶν. Καὶ ἅμα τῇ ἡμέρᾳ, ὤφθη Ἰούδας ἐν τῷ 6.
πεδίῳ ἐν τρισχιλίοις ἀνδράσι· πλὴν καλύμματα καὶ μαχαίρας οὐκ εἶχον καθὼς ἠβούλοντο. Καὶ 7.
εἶδον παρεμβολὴν ἐθνῶν ἰσχυρὰν, τεθωρακισμένην, καὶ ἵππον κυκλοῦσαν αὐτὴν, καὶ οὗτοι διδακτοὶ
πολέμου. Καὶ εἶπεν Ἰούδας τοῖς ἀνδράσι τοῖς μετ' αὐτοῦ, Μὴ φοβεῖσθε τὸ πλῆθος αὐτῶν, καὶ τὸ 8.
ὅρμημα αὐτῶν μὴ δειλωθῆτε. Μνήσθητε πῶς ἐσώθησαν οἱ πατέρες ἡμῶν ἐν θαλάσσῃ ἐρυθρᾷ, 9.
ὅτε ἐδίωξεν αὐτοὺς Φαραὼ ἐν δυνάμει. Καὶ νῦν βοήσωμεν εἰς τὸν οὐρανὸν, εἴπως ἐλεήσει ἡμᾶς, 10.
καὶ μνησθήσεται διαθήκης πατέρων ἡμῶν, καὶ συντρίψει τὴν παρεμβολὴν ταύτην κατὰ πρόσ-
ωπον ἡμῶν σήμερον. Καὶ γνώσεται πάντα τὰ ἔθνη, ὅτι ἐστὶν ὁ λυτρούμενος καὶ σώζων τὸν Ἰσ- 11.
ραήλ. Καὶ ἦραν οἱ ἀλλόφυλοι τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ ἴδον αὐτοὺς ἐρχομένους ἐξεναντίας, Καὶ 12. 13.
ἐξῆλθον ἐκ τῆς παρεμβολῆς εἰς πόλεμον· καὶ ἐσάλπισαν οἱ μετὰ Ἰούδα. Καὶ συνῆψαν, καὶ συν- 14.
ετρίβησαν τὰ ἔθνη, καὶ ἔφυγον εἰς τὸ πεδίον. Οἱ δὲ ἔσχατοι πάντες ἔπεσον ἐν ῥομφαίᾳ· καὶ 15.
ἐδίωξαν αὐτοὺς ἕως Γαζηρῶν καὶ ἕως τῶν πεδίων τῆς Ἰδουμαίας καὶ Ἀζώτου καὶ Ἰαμνίας, καὶ ἔπε-
σον ἐξ αὐτῶν εἰς ἄνδρας τρισχιλίους. Καὶ ἐπέστρεψεν Ἰούδας καὶ ἡ δύναμις ἀπὸ τοῦ διώκειν ὄπι- 16.
σθεν αὐτῶν, Καὶ εἶπε πρὸς τὸν λαὸν, Μὴ ἐπιθυμήσητε τῶν σκύλων, ὅτι πόλεμος ἐξεναντίας 17.
ἡμῶν. Καὶ Γοργίας καὶ ἡ δύναμις ἐν τῷ ὄρει ἐγγὺς ἡμῶν· ἀλλὰ στῆτε νῦν ἐναντίον τῶν ἐχθρῶν 18.
ἡμῶν, καὶ πολεμήσατε αὐτοὺς, καὶ μετὰ ταῦτα λήψετε τὰ σκύλα μετὰ παῤῥησίας. Ἔτι λα- 19.
λοῦντος Ἰούδα ταῦτα, ὤφθη μέρος τι ἐκκύπτον ἐκ τοῦ ὄρους. Καὶ εἶδεν ὅτι τετρόπωνται, καὶ ἐμπυ- 20.

I. Καὶ παρέλαβε] και παρενεβαλε 44, 71, 74. Ald. καὶ παρενέλαβε Compl. καὶ ἀπῆρεν] και επηρεν 74. + δη 93. ἡ παρεμβολὴ] + αυτου 19, 93.

II. τῶν Ἰουδαίων] + νυκτος 19, 93. καὶ οἱ υἱοὶ] ∧ οἱ 55, 62, 74. καὶ οἱ υἱοὶ &c. ad fin. com.] *et filii ſummi Achis erant illis duces.* Vet. Lat. ex MS. S. Germ.

III. ἐν Ἐμμαοὺμ] εν Αμμαουμ 23. Εμμαους 44. εν Αιμμαουμ 55. *in Ammaum* Vet. Lat. ubi ſupra.

IV. Ἕως ἔτι &c. ad fin. com.] *dum adhuc diſperſi erant caſtris.* Vet. Lat. ubi ſupra. αἱ δυνάμεις ἐσκορπ. ἦσαν] εσκορπ. ἦσαν αἱ δυναμεις 19, 62, 64. ſic, cum εισιν pro ἠσαν, 93.

V. νυκτὸς] ponit ſtatim poſt Γοργιας 44. καὶ οὐδένα εὗρε] και ουδεν ευρε 44, 62, 74. και ουδενα ευρον 93. ὅτι εἶπε] οτι ειπον 62. Φεύγουσιν] præmitt. οτι 55.

VI. Καὶ ἅμα τῇ ἡμέρᾳ] ∧ τῃ 44, 55, 56, 62, 74, 106. Compl. Alex. ἐν τρισχιλ. ἀνδράσι] *in tribus millibus viris tantum:* Vet. Lat. ubi ſupra. πλὴν καλύμματα] και πλην καλυμματων 64, 93. πλὴν καλυμμάτων Ald. πλὴν καλύμ. καὶ μαχαίρ.] *quod tegimenta in gladio* Vet. Lat. ubi ſupra. καὶ μαχαίρας] και μαχαιραν III, 44, 56, 62, 71, 74, 106, 243. Compl. + και περικεφαλαιας και σφενδονας και λιθους και σκορπιδια και θωρακας 55. και μαχαιρων 64, 93. Ald.

VII. ἐθνῶν] præmitt. των 55. τεθωρακισμένην] præmitt. και 19, 93. καὶ ἵππον] καὶ εἶπον (ſic) 93. κυκλοῦσαν αὐτὴν] κυκλουσαν εκει 93.

VIII. τοῖς μετ' αὐτοῦ] τοις μεθ' εαυτου 44, 106. τὸ πλῆθος αὐτῶν] ∧ αυτων 44, 71. μὴ δειλωθῆτε] μη διωθηται III. ∧ 71.

IX. πῶς ἐσώθησαν] ως εσωθησαν 23, 44, 56, 62, 71, 74, 93, 106. Compl. Ald. Alex. οἱ πατέρες ἡμῶν] *fratres noſtri* Vet. Lat. ubi ſupra. ὅτε ἐδίωξεν αὐτοὺς] οτε εδιωκεν αυτους 19, 64, 93. οτε εδιωξαν αυτους 74. ἐν δυνάμει] + μεγαλη 55.

X. εἰς τὸν οὐρανὸν] ∧ τον 44, 62, 74, 106, 243. Compl. Alex. προς Κυριον 71. εἴπως ἐλεήσει ἡμᾶς] εἰ θελησει ημας 23, 106. Alex. εἰ ελεησει ημας 56, 74, 243. Compl. εἰ ελεησαι ημας 62. και σωσει ημας 71. *ſi miſerebitur noſtri Dominus* Vet. Lat. ubi ſupra. καὶ μνησθήσεται &c. ad fin. com. ſeq.] ∧ 71. πατέρων ἡμῶν] ∧ ημων 44, 56, 62, 74, 106. Compl. Ald. habet ἡμῶν in charact. minore Alex. καὶ συντρίψει] + τουτους 44. και συστρεψει 74. τὴν παρεμβολὴν &c. ad fin. com] ∧ 44. δύναμιν ταύτην ἐναντίον πόδων ἡμῶν σήμερον. 6 Codices Sergii. κατὰ πρόσωπον ἡμῶν] κατα προσωπον υμων 64.

XI. Καὶ γνώσεται] και γνωσονται 44, 56, 62, 74, 106, 243. Compl. Alex. ὁ λυτρούμενος καὶ σώζων] ὁ σωζων και λυτρουμενος 44.

XII. καὶ ἴδον] και ειδον 44, 74. Compl. Ald. και ειδαν 106. καὶ ἴδαν Alex. αὐτοὺς ἐρχομένους] αυτους εχομενους III. αυτους οἱ αλλοφυλοι ερχομενους 44. αυτους εξερχομενους 52.

XIII. Καὶ ἐξῆλθον] και εξηλθεν 55. και εξηλθαν 106. Alex. εἰς πόλεμον] εις τον πολεμον 55. οἱ μετὰ Ἰούδα] οἱ παρα Ιουδα 23, 52, 55, 56, 62, 71, 74, 106, 243. Compl. Alex. οἱ παρα Ιουδαν 44.

XIV. Καὶ συνῆψαν] + αυτοις 19, 64, 93. και παρασυνηψαν 55. καὶ συνετρίβησαν] και συνετριβη 19, 64, 93. τὰ ἔθνη] + επι προσωπον αυτων 55.

XV. Οἱ δὲ ἔσχατοι] και οἱ εσχατοι 71. πάντες ἔπεσον] παντες επεσαν 56, 106. Alex. ἕως Γαζηρῶν] εως Ασαρημωθ 44, 52, 62, 71, 74, 243. Compl. Ald. εως Γασηρων 56, 106. Alex. εως Γαζαρων 64, 93. τῆς Ἰδουμαίας] της Ιουδαιας III, 19. καὶ Ἀζώτου] και εως Αζωτου 19, 64, 93. καὶ Ἰαμνίας] και Αμνειας 106. καὶ Ἰαννείας Alex. καὶ ἔπεσον] και επεσαν 56, 106. Alex. ἐξ αὐτῶν] ∧ ἐξ 19, 44, 56, 62, 74, 93, 106. Compl. Ald.

XVI. Καὶ ἐπέστρεψεν] και ανεστρεψεν 62. Καὶ ἐπέστρεψεν &c. ad fin. com.] *Et reverſus eſt Judas et exercitus ejus.* Vet. Lat. ubi ſupra. Ἰούδας καὶ ἡ δυνάμις] ἡ δυναμις Ιουδα, και αυτος 71. καὶ ἡ δυνάμις] + αυτου 19, 55, 93. ἀπὸ τοῦ διώκειν] αυτου διωκειν 106. ὄπισθεν αὐτῶν] οπισθω αυτων 62.

XVII. Καὶ εἶπε] + Ιουδας 19, 55, 64, 93. ὅτι πόλεμος] οτι ετι πολεμος 19, 93. + ἔτι 55. οτι εστι πολεμος 64. ἐξεναντίας ἡμῶν] εμπροσθεν ημων 19, 64, 93.

XVIII. καὶ ἡ δυνάμις] + αυτου 64, 93. ἀλλὰ στῆτε—ἡμῶν] ∧ cum intermed. 93. ἀλλὰ στῆτε νῦν] αλλα στητε σημερον 44. καὶ στητε 71. ἐναντίον τῶν ἐχθρῶν] εναντι των εχθρων 19. λήψετε] ληψεσθε 19, 64. (93. ſcr. ληψεσθαι.) λαβετε 23, 44, 52, 56, 62, 71, 74, 106, 243. Compl. Alex. τὰ σκύλα] ∧ τὰ Alex. μετὰ παῤῥησίας] παῤῥησίᾳ 56. præmitt. καὶ Alex.

XIX. Ἔτι λαλοῦντος] ετι πληρουντος 23, 44, 52, 56, 62, 71, 74, 106, 243. Compl. Alex. ετι αυτου λαλουντος 55. Ἰούδα ταῦτα] ταυτα του Ιουδα 19, 64, 93. ∧ Ιουδα 55. Ἰούδου ταῦτα Alex. ἐκ τοῦ ὄρους] + των μετα Γοργια 19, 64. + των μετα Γοργιου 93.

XX. Καὶ εἶδεν] καὶ ειδον 19, 56, 64, 93. ὅτι τετρόπωνται] οτι τετροπωται 62. Alex. οτι τρεπονται 106. καὶ ἐμπυρίζουσι] + οἱ περι τον Ιουδαν 19. + οἱ περι Ιουδαν 64. Ald. + οἱ παρ' Ιουδαν 93.

Digitized by Google

θέντα στρατὸν, ἐλογίζετο πάλιν παραγενέσθαι εἰς τὴν Ἰουδαίαν. Εἶπε δὲ Ἰούδας καὶ οἱ ἀδελφοὶ 36.
αὐτοῦ, Ἰδοὺ συνετρίβησαν οἱ ἐχθροὶ ἡμῶν, ἀναβῶμεν καθαρίσαι τὰ ἅγια καὶ ἐγκαινίσαι. Καὶ 37.
συνήχθη ἡ παρεμβολὴ πᾶσα, καὶ ἀνέβησαν εἰς ὄρος Σιών. Καὶ ἴδον τὸ ἁγίασμα ἠρημωμένον, 38.
καὶ τὸ θυσιαστήριον βεβηλωμένον, καὶ τὰς πύλας κατακεκαυμένας, καὶ ἐν ταῖς αὐλαῖς φυτὰ πε-
φυκότα ὡς ἐν δρυμῷ ἢ ὡς ἐν ἑνὶ τῶν ὀρέων, καὶ τὰ παστοφόρια καθῃρημένα. Καὶ διέῤῥηξαν τὰ 39.
ἱμάτια αὐτῶν, καὶ ἐκόψαντο κοπετὸν μέγαν, καὶ ἐπέθεντο σποδὸν ἐπὶ τὴν κεφαλὴν αὐτῶν. Καὶ 40.
ἔπεσον ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν, καὶ ἐσάλπισαν ταῖς σάλπιγξι τῶν σημασιῶν, καὶ ἐβόησαν εἰς
τὸν οὐρανόν. Τότε ἐπέταξεν Ἰούδας ἄνδρας πολεμεῖν τοὺς ἐν τῇ ἄκρᾳ, ἕως ἂν καθαρίσῃ τὰ ἅγια. 41.
Καὶ ἐπέλεξεν ἱερεῖς ἀμώμους, θελητὰς νόμου. Καὶ ἐκαθάρισαν τὰ ἅγια, καὶ ἦραν τοὺς λίθους 42. 43.
τοῦ μιασμοῦ εἰς τόπον ἀκάθαρτον. Καὶ ἐβουλεύσαντο περὶ τοῦ θυσιαστηρίου τῆς ὁλοκαυτώσεως τοῦ 44.
βεβηλωμένου, τί αὐτῷ ποιήσωσι. Καὶ ἐπέπεσεν αὐτοῖς βουλὴ ἀγαθὴ, καθελεῖν αὐτὸ, μήποτε 45.
γένηται αὐτοῖς εἰς ὄνειδος, ὅτι ἐμίαναν τὰ ἔθνη αὐτό· καὶ καθεῖλον τὸ θυσιαστήριον, Καὶ ἀπ- 46.
έθεντο τοὺς λίθους ἐν τῷ ὄρει τοῦ οἴκου, ἐν τόπῳ ἐπιτηδείῳ, μέχρι τοῦ παραγενηθῆναι προφήτην
τοῦ ἀποκριθῆναι περὶ αὐτῶν. Καὶ ἔλαβον λίθους ὁλοκλήρους κατὰ τὸν νόμον, καὶ ᾠκοδόμησαν τὸ 47.
θυσιαστήριον καινὸν κατὰ τὸ πρότερον. Καὶ ᾠκοδόμησαν τὰ ἅγια καὶ τὰ ἐντὸς τοῦ οἴκου, καὶ τὰς 48.
αὐλὰς ἡγίασαν. Καὶ ἐποίησαν σκεύη ἅγια καινὰ, καὶ εἰσήνεγκαν τὴν λυχνίαν καὶ τὸ θυσιαστή- 49.
ριον τῶν θυμιαμάτων καὶ τὴν τράπεζαν εἰς τὸν ναόν. Καὶ ἐθυμίασαν ἐπὶ τὸ θυσιαστήριον, καὶ 50.
ἐξῆψαν τοὺς λύχνους τοὺς ἐπὶ τῆς λυχνίας, καὶ ἐφαίνοσαν ἐν τῷ ναῷ. Καὶ ἐπέθηκαν ἐπὶ τὴν 51.
τράπεζαν ἄρτους, καὶ ἐξεπέτασαν τὰ καταπετάσματα, καὶ ἐτέλεσαν πάντα τὰ ἔργα ἃ ἐποίησαν.
Καὶ ὤρθρισαν τοπρωῒ τῇ πέμπτῃ καὶ εἰκάδι τοῦ μηνὸς τοῦ ἐννάτου· οὗτος ὁ μὴν Χασελεῦ τοῦ ὀγδόου 52.
καὶ τεσσαρακοστοῦ καὶ ἑκατοστοῦ ἔτους. Καὶ ἀνήνεγκαν θυσίαν κατὰ τὸν νόμον ἐπὶ τὸ θυσιαστήριον 53.
τῶν ὁλοκαυτωμάτων τὸ καινὸν ὃ ἐποίησαν. Κατὰ τὸν καιρὸν καὶ κατὰ τὴν ἡμέραν ἐν ᾗ ἐβεβήλω- 54.

εις την Ιουδαιαν 56. sic, nisi παραγινεσθαι, 62. τὸν γενηθέντα—πάλιν] τὸν πάλιν γενηθέντα στρατὸν ἐλογίζετο πάλιν (cum στρατὸν ἐλογίζετο πάλιν in charact. minore) Alex. τὸν γενηθέντα στρατὸν] γενομενον εαυτον ιδων 19. γενομενον εαυτον 64. τον γενομενον εαυτον 93. ἐλογίζετο] ponit statim post Ιουδαιαν 19, 64, 93. πάλιν παραγενέσθαι] παλιν παραγινεσθαι 64. παλιν γενηθεντα παραγενεσθαι 71, 74, 243. Compl. Ald.

XXXVI. καὶ οἱ ἀδελφοὶ] προς τους αδελφους 55. καθαρίσαι] καθαρισωμεν 19. præmitt. και 55. και καθαρισωμεν 64, 93. τὰ ἅγια] + ημων 55. καὶ ἐγκαινίσαι] και εγκαινισωμεν 19, 64, 93.

XXXVII. καὶ ἀνέβησαν] και ανεβη 93.

XXXVIII. Καὶ ἴδον] και ειδον 74, 106. Compl. Ald. τὸ ἁγίασμα] + ἡμῶν Alex. βεβηλωμένον] εβδελυγμενον 52, 62. ερημον 93. καὶ ἐν ταῖς &c. ad fin. com.] ^ 71. ἐν ἑνὶ τῶν ὀρέων] ^ εν 23, 64, 74. εν ενι των ιερεων 62. καὶ τὰ παστοφόρ. καθῃρημ.] *et pastoforia disruta et detracta*. Vet. Lat. ex MS. S. Germ.

XXXIX. Καὶ διέῤῥηξαν] και απερρηξαν 56. καὶ ἐκόψαντο] και εκλαυσαντο 56. ἐπὶ τὴν κεφαλὴν αὐτῶν] ^ 19, 93.

XL. ἐπὶ τὴν γῆν] + αυτων 44. καὶ ἐσάλπισαν] τοτε εσαλπισαν 44. ^ εσαλπισαν 71. καὶ ἐσάλπισαν &c. ad fin. com.] *et clamaverunt ad cælum in tubis signorum*. Vet. Lat. ubi supra. ταῖς σάλπιγξιν] εν σαλπιγξιν 71. τῶν σημασιῶν] ^ των 71. εἰς τὸν οὐρανόν] ^ τον 64, 93, 106. Alex. προς Κυριον 71.

XLI. Τότε ἐπέταξεν] τοτε απεταξεν 64. Τότε ἐπέταξεν—τῇ ἄκρᾳ] *Tunc ordinavit Judas adversus eos qui erant in arce* Vet. Lat. ubi supra. ἄνδρας πολεμεῖν] ανδρασιν πολεμειν 23, 44, 56, 62, 71, 74, 106, 243. Compl. Ald. Alex. τοὺς ἐν τῇ ἄκρᾳ] τοις εν τη ακρα 56. ἕως ἂν καθαρίσῃ] ^ αν 23, 44, 55, 56, 74, 106. Compl. εως ου καθαριση 62. habet ἂν in charact. minore Alex.

XLII. Καὶ ἐπέλεξεν] και επελεξατο 23.

XLIII. Καὶ ἐκαθάρισαν] και εκαθαρισε 19, 64, 93. καὶ ἦραν] και ηρε 19, 64, 93. εἰς τόπον ἀκάθαρτον] εις τον τοπον τον ακαθαρτον 71. *et locum immundum*. Vet. Lat. ubi supra.

XLIV. Καὶ ἐβουλεύσαντο] + οἱ πρεσβυτεροι 55. τῆς ὁλοκαυτώσεως] και ολοκαυτωσεως 19. τί αὐτῷ] τι αυτο 64, 106. ποιήσωσι] ποιησουσι 62, 93, 106.

XLV. Καὶ ἐπέπεσεν—ἀγαθὴ] *Et consiliati sunt* Vet. Lat. ubi supra Καὶ ἐπέπεσεν αὐτοῖς] και επεσεν αυτοις 19, 23, 56, 71, 74, 106, 243. Compl. Ald. Alex. και επεσεν 55. μήποτε γένηται] μήτε γένηται Compl. εἰς ὄνειδος] εις ονειδισμον 23. ὅτι ἐμίαναν] οτι εμιανεν 93. ὅτι ἐμίαναν τὰ ἔθνη αὐτὸ] ^ 71. τὰ ἔθνη αὐτὸ] αυτο τα εθνη 19, 93. καὶ καθεῖλον] + αυτο 44. τὸ θυσιαστήριον] ^ 44.

XLVI. Καὶ ἀπέθεντο] και επεθεντο 23. μεχρὶ τοῦ παραγενηθῆναι] μεχρι του παραγενεσθαι 19, 64, 93. τοῦ ἀποκριθῆναι] + τι 55. περὶ αὐτῶν] παρ' αυτων 93.

XLVII. Καὶ ἔλαβον] και ελαβεν III. καὶ ᾠκοδόμησαν] και ωκοδομησεν III. τὸ θυσιαστήριον] ^ το 23, 56, 62, 71, 106. habet τὸ in charact. minore Alex.

XLVIII. Καὶ ᾠκοδόμησαν] ^ ωκοδομησαν 44. Καὶ ᾠκοδόμησαν—καινὰ in com. seq.] ^ cum intermed. 71. ἡγίασαν] ηγιασεν III. καὶ πάντα Ald.

XLIX. σκεύη] præmitt. τα 55, 62, 74, 106, 243. Compl. Ald. Alex. ἅγια καινὰ] τα αγια κοινα 55. præmitt. τα 62, 74, 106, 243. Compl. Ald. Alex. ^ αγια 93. τῶν θυμιαμάτων] των ολοκαυτωματων και θυμιαματων 23, 52, 56, 62, 106, 243. Compl. Ald. Alex. των ολοκαυτωματων 44. καὶ τὴν τράπεζαν] ^ και 106.

L. ἐπὶ τὸ θυσιαστήριον] υπο το θυσιαστηριον 19. εις το θυσιαστηριον 56. καὶ ἐξῆψαν] και εξηραν 64. και ηψαν 71. καὶ ἐξήψαντο Compl. ἐπὶ τῆς λυχνίας] επι την λυχνιαν 93. ^ 106. καὶ ἐφαίνοσαν] και εφαινον 19, 23, 55, 64, 93. ^ 106. καὶ ἐφάνοσαν Compl. καὶ ἐφαίνοσαν ἐν τῷ ναῷ] ^ 71.

LI. Καὶ ἐπέθηκαν] και εθηκαν 44. τὰ καταπετάσματα] τὰ καταπετάσαντα Ald. καὶ ἐτέλεσαν] και εξετελεσαν 55. ἃ ἐποίησαν] οσα εποιησαν 71.

LII. τῇ πέμπτῃ &c. ad fin. com.] ^ 71. τῇ πέμπτῃ καὶ εἰκάδι] τη πρωτη και εικαδι 52. ^ τῇ 55, 106. Χασελεῦ] Χασελευ III. Χασλευ 19, 93. Χασελεῦ—ἔτους] Χασελευ ετους ογδοου και τεσσαρακοστου· και εκατοστου 55. τοῦ ὀγδόου] ετους ογδοου 19, 64, 93. καὶ τεσσαρακοστοῦ] ^ και 106. καὶ ἑκατοστοῦ ἔτους] και εκατοστου της βασιλειας 19, 93. της βασιλειας 64.

LIII. Καὶ ἀνήνεγκαν] και το πρωῒ ανηνεγκαν 44. ^ και 62. κατὰ τὸν νόμον] και ενεκαινισαν 56. ἐπὶ τὸ θυσιαστήριον] ^ επι 56. τὸ καινὸν] præmitt. και 55. τὸ καινὸν—ἐν ἐκείνῃ in com. seq.] ^ cum intermed. 71. ὃ ἐποίησαν] ^ 52.

LIV. καὶ κατὰ τὴν ἡμέραν] ^ κατα 44. ^ και 74, 106. Compl. Ald. habet καὶ in charact. minore Alex. ἐν ἐκείνῃ] + τη ημερα 19, 23, 55, 64, 93. ^ 56. ἐνεκαινίσθη] præmitt. και 71. και

Digitized by Google

ΚΕΦ. IV.
σαν αὐτὸ τὰ ἔθνη, ἐν ἐκείνῃ ἐνεκαινίσθη ἐν ᾠδαῖς καὶ κιθάραις καὶ κινύραις, καὶ ἐν κυμβάλοις.
55. Καὶ ἔπεσον πᾶς ὁ λαὸς ἐπὶ πρόσωπον, καὶ προσεκύνησαν, καὶ εὐλόγησαν εἰς οὐρανὸν τὸν εὐοδώ-
56. σαντα αὐτοῖς. Καὶ ἐποίησαν τὸν ἐγκαινισμὸν τοῦ θυσιαστηρίου ἡμέρας ὀκτὼ, καὶ προσήνεγκαν ὁλο-
57. καυτώματα μετ' εὐφροσύνης, καὶ ἔθυσαν θυσίαν σωτηρίου καὶ αἰνέσεως. Καὶ κατεκόσμησαν τὸ κατὰ
πρόσωπον τοῦ ναοῦ στεφάνοις χρυσοῖς καὶ ἀσπιδίσκαις, καὶ ἐνεκαίνισαν τὰς πύλας καὶ τὰ παστο-
58. φόρια, καὶ ἐθύρωσαν αὐτά. Καὶ ἐγενήθη εὐφροσύνη μεγάλη ἐν τῷ λαῷ σφόδρα, καὶ ἀπεστράφη
59. ὄνειδος ἐθνῶν. Καὶ ἔστησεν Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ πᾶσα ἡ ἐκκλησία Ἰσραὴλ, ἵνα ἄγων-
ται αἱ ἡμέραι ἐγκαινισμοῦ τοῦ θυσιαστηρίου ἐν τοῖς καιροῖς αὐτῶν ἐνιαυτὸν κατ' ἐνιαυτὸν ἡμέρας
60. ὀκτὼ ἀπὸ τῆς πέμπτης καὶ εἰκάδος τοῦ μηνὸς Χασελεῦ, μετ' εὐφροσύνης καὶ χαρᾶς. Καὶ ᾠκοδό-
μησαν ἐν τῷ καιρῷ ἐκείνῳ τὸ ὄρος Σιὼν, κυκλόθεν τείχη ὑψηλὰ καὶ πύργους ὀχυροὺς, μήποτε
61. παραγενηθέντα τὰ ἔθνη καταπατήσωσιν αὐτὰ, ὡς ἐποίησαν τοπρότερον. Καὶ ἐπέταξεν ἐκεῖ
δύναμιν τηρεῖν αὐτὸ, καὶ ὠχύρωσαν αὐτὸ τηρεῖν τὴν Βαιθσούραν, τοῦ ἔχειν τὸν λαὸν ὀχύρωμα
κατὰ πρόσωπον τῆς Ἰδουμαίας.

ΚΕΦ. V.
1. ΚΑΙ ἐγένετο ὅτε ἤκουσαν τὰ ἔθνη κυκλόθεν ὅτι ᾠκοδομήθη τὸ θυσιαστήριον, καὶ ἐνεκαινίσθη τὸ
2. ἁγίασμα ὡς τοπρότερον, καὶ ὠργίσθησαν σφόδρα. Καὶ ἐβουλεύσαντο τοῦ ἆραι τὸ γένος Ἰακὼβ
3. τοὺς ὄντας ἐν μέσῳ αὐτῶν, καὶ ἤρξαντο τοῦ θανατοῦν ἐν τῷ λαῷ καὶ ἐξαίρειν. Καὶ ἐπολέμει Ἰού-
δας πρὸς τοὺς υἱοὺς Ἡσαῦ ἐν τῇ Ἰδουμαίᾳ τὴν Ἀκραβαττίνην, ὅτι περιεκάθηντο τὸν Ἰσραὴλ, καὶ
4. ἐπάταξεν αὐτοὺς πληγὴν μεγάλην, καὶ συνέστειλεν αὐτοὺς, καὶ ἔλαβε τὰ σκῦλα αὐτῶν. Καὶ
ἐμνήσθη τῆς κακίας υἱῶν Βαιὰν, οἳ ἦσαν τῷ λαῷ εἰς παγίδα καὶ εἰς σκάνδαλον ἐν τῷ ἐνεδρεύειν
5. αὐτοὺς ἐν ταῖς ὁδοῖς. Καὶ συνεκλείσθησαν ὑπ' αὐτοῦ ἐν τοῖς πύργοις, καὶ παρενέβαλεν ἐπ' αὐ-
τοὺς, καὶ ἀνεθεμάτισεν αὐτοὺς, καὶ ἐνεπύρισε τοὺς πύργους αὐτῆς ἐν πυρὶ σὺν πᾶσι τοῖς ἐνοῦσι.
6. Καὶ διεπέρασεν ἐπὶ τοὺς υἱοὺς Ἀμμὼν, καὶ εὗρε χεῖρα κραταιὰν, καὶ λαὸν πολὺν, καὶ Τιμόθεον
7. ἡγούμενον αὐτῶν. Καὶ συνῆψε πρὸς αὐτοὺς πολέμους πολλοὺς, καὶ συνετρίβησαν πρὸ προσώπου

εμνησθη 106. καὶ κιθάραις] ∧ 19, 64, 93. καὶ κιθάραις καὶ κινύραις] και κινυραις και κυθαραις 62. καὶ κινύραις] εν κινυραις 19. και εν κινυραις 64, 93. ∧ 74. καὶ ἐν κυμβάλοις] ∧ εν 23.

LV. Καὶ ἔπεσον] και επεσεν 56, 93, 106. πᾶς ὁ λαὸς] παντες 71. καὶ προσεκύνησαν] + τον Θεον 71. καὶ εὐλόγησαν &c. ad fin. com.] ∧ 71. εἰς οὐρανὸν] εις τον ουρανον 55, 64, 93. αὐτοῖς] αυτους III, 62, 64, 74.

LVI. τὸν ἐγκαινισμὸν] τον εγκαινιασμον III. τοῦ θυσιαστηρίου] ∧ 44. ἡμέρας ὀκτὼ] ημεραις οκτω 64. μετ' εὐφροσύνης] ∧ 71. καὶ ἔθυσαν &c. ad fin. com.] *et facrificium falutaris* Vet. Lat. ex MS. S. Germ. θυσίαν σωτηρίου] tr. 106. καὶ αἰνέσεως] και ολοκαυτωσεως και συνεσεως 55. ∧ 71.

LVII. Καὶ κατεκόσμησαν] ∧ και 93. κατεκόσμησαν τὸ] κατεκοσμήσαντο 106. τοῦ ναοῦ] præmitt. του θυσιαστηριου 106. τοῦ λαοῦ Alex. καὶ ἐνεκαίνισαν] και ενεκενισεν III. και ενεκαινισε 64.

LVIII. Totum comma deeft 71. Καὶ ἐγενήθη] και εγενετο 19, 64, 93. εὐφροσύνη μεγάλη] tr. 64, 93. ὄνειδος ἐθνῶν] ονειδισμος των εθνων 19. ονειδισμος εθνων 23, 62, 93. ὁ ονειδισμος εθνων 64.

LIX. καὶ πᾶσα ἡ ἐκκλησία] ∧ ἡ 44. Compl. Ald. Alex. αἱ ἡμέραι] ∧ 56. ∧ αἱ 62. habet αἱ in charact. minore Alex. ἐγκαινισμοῦ τοῦ θυσιαστηρίου] præmitt. του 23, 55, 64, 93. ἐν τοῖς καιροῖς &c. ad fin. com.] ∧ 71. τοῦ μηνὸς Χασελεῦ] τοῦ ἐννάτου μῆνος 7 Codices Sergii. Χασελεῦ] Χασλευ 93. καὶ χαρᾶς] *et gaudio magno.* Vet. Lat. ubi fupra.

LX. ἐν τῷ καιρῷ ἐκείνῳ] ∧ 71. Σιὼν] præmitt. το 93. τείχη ὑψηλὰ] τειχει υψηλω 19, 64, 93. Ald. καὶ πυργοὺς ὀχυροὺς] και πυργους ισχυρους III, 56, 71, 74, 243. Compl. και πυργοις οχυροις 19, 64, 93. καὶ πύργοις ἰσχυροῖς Ald. μήποτε παραγενηθέντα] μηποτε παραγενηθεντες 62. καταπατήσωσιν αὐτά] καταπατηση αυτα 19. καταπατηση αυτην 64. καταπατησει αυτην 93. ὡς ἐποίησαν] ως εποιησε 93. ὡς ἐποίησαν τὸ πρότερον] ∧ 71.

LXI. Καὶ ἐπέταξεν] και απεταξεν 23, 64, 93. και απεταξαν 74. και επεταξαν 106. ἐκεῖ δυνάμιν] ∧ εκει 71. τηρεῖν αὐτὸ] τηρειν αυτην 19, 64, 93. τηρειν αυτα 23. τηρειν αυτω 106. Ald. καὶ ὠχύρωσαν] και ωχυρωσεν 19, 23, 64. ∧ 106. αὐτὸ τηρεῖν] αυτον τηρειν 19. ∧ 55, 106. αὐτην τηρειν 64, 93. τὴν Βαιθσούραν] την Βαιθσουρα 23, 62. Alex. την Βαιθσουσαν 44. την Βεθσουρα 56, 106. την Βαιθσουρ 64, 93. ὀχύρωμα] θυρωματα 52. τῆς Ἰδουμαίας] της Ιουδαιας 55.

I. Καὶ ἐγένετο] ∧ εγενετο 44. ὅτε ἤκουσαν] οτε ηκουσε 64, 93. ὅτι ᾠκοδομήθη] ∧ ωκοδομηθη 71. τὸ θυσιαστήριον—τοπρότερον] *altare et fanctuarium ficut prius* Vet. Lat. ex MS. S. Germ. τὸ θυσιαστήριον καὶ ἐνεκαινίσθη] ενεκαινισθη το θυσιαστηριον και 71. ὡς τοπρότερον] ∧ 71. καὶ ὠργίσθησαν] και ωργισθη III. ∧ και 44, 71.

II. Καὶ ἐβουλεύσαντο] και εβουλευοντο 23. τοῦ ἆραι] του εξαραι 55. ∧ του 71. τὸ γένος Ἰακὼβ] το σπερμα Ιακωβ 19, 64, 93. τοὺς ὄντας ἐν μέσῳ αὐτῶν] τους εν μεσω αυτων οντας 19, 64, 93. ∧ 71. ἐν μέσῳ αὐτῶν] εν μεσω αυτης 56. τοῦ θανατοῦν] ∧ του 64, 71, 93. τοῦ θανατοῦν &c. ad fin. com.] *perfequi et occidere eos.* Vet. Lat. ubi fupra. ἐν τῷ λαῷ] τον λαον 44.

III. ἐν τῇ Ἰδουμαίᾳ] εν τη Ιουδαια III. præmitt. τους 55. τὴν Ἀκραβαττίνην] την Ακραβατταννην 23, 56. την Ακραβαττηνην 64. Alex. ∧ 71. πληγὴν μεγάλην] πληγη μεγαλη 19. τὰ σκῦλα αὐτῶν] τα αγκυλα αυτων III.

IV. υἱῶν Βαιὰν] præmitt. των 64. præmitt. αυτων 93. τῷ λαῷ] præmitt. ἐν 93. εἰς σκάνδαλον] ∧ εις 23. ἐν ταῖς ὁδοῖς] εν τοις ολοις 52. εν τη οδω 106.

V. Καὶ συνεκλείσθησαν] και διεκλεισθησαν III, 44, 62, 74, 243. Compl. και εκλεισθησαν 71. και διεκληθησαν 106. ἐν τοῖς πύργοις] εις τους πυργους 23, 55, 56, 62, 71, 74, 106. Compl. Alex. + αυτης 93. καὶ παρενέβαλεν] και παρεβαλεν III, 56. καὶ παρενέβαλεν—ἐν πυρὶ] *et incendit turres eorum igni* Vet. Lat. ubi fupra. τοὺς πύργους αὐτῆς] τους πυργους αυτου 44. τους πυργους αυτων 55, 106. τους πυργους αυτους 71. ἐν πυρὶ] ∧ 23. præmitt. και 106. τοῖς ἐνοῦσι] τοις ενοικουσι 55. τοις εθνεσιν 62.

VI. Καὶ διεπέρασεν] + Ιουδας 64, 93. *Et tranfiit Judas* Vet. Lat. ubi fupra. λαὸν πολὺν] + και χειρα ισχυραν 19, 23, 55, 62, 64, 93. καὶ Τιμόθεον] και Τιμοθεος 19. ἡγούμενον αὐτῶν] ὁ ηγουμενος αυτων 19. ηγουμενων αυτων 62.

VII. Καὶ συνῆψε—προσώπου αὐτοῦ] ∧ cum intermed. 52. καὶ συνετρίβησαν &c. ad fin. com.] *et contrivit eos* Vet. Lat. ubi fupra.

Digitized by Google

ΚΕΦ. V.

αἰξὶ καὶ τοῖς τέκνοις, καὶ πάντα ὅσα ἦν αὐτοῖς, καὶ ἤγαγεν εἰς τὴν Ἰουδαίαν μετ' εὐφροσύνης
24. μεγάλης. Καὶ Ἰούδας ὁ Μακκαβαῖος καὶ Ἰωνάθαν ὁ ἀδελφὸς αὐτοῦ διέβησαν τὸν Ἰορδάνην, καὶ
25. ἐπορεύθησαν ὁδὸν τριῶν ἡμερῶν ἐν τῇ ἐρήμῳ. Καὶ συνήντησαν τοῖς Ναβαταίοις, καὶ ἀπήντησαν
αὐτοῖς εἰρηνικῶς, καὶ διηγήσαντο αὐτοῖς ἅπαντα τὰ συμβάντα τοῖς ἀδελφοῖς αὐτῶν ἐν τῇ Γαλαα-
26. δίτιδι. Καὶ ὅτι πολλοὶ ἐξ αὐτῶν συνειλημμένοι εἰσὶν εἰς Βόσσορα, καὶ Βοσὸρ, ἐν Ἀλέμοις, Χα-
27. σφὼρ, Μακὲδ, καὶ Καρναΐν· πᾶσαι αἱ πόλεις αὗται ὀχυραὶ καὶ μεγάλαι. Καὶ ἐν ταῖς λοιπαῖς
πόλεσι τῆς Γαλααδίτιδός εἰσι συνειλημμένοι, καὶ εἰς αὔριον τάσσονται παρεμβάλλειν ἐπὶ τὰ ὀχυ-
28. ρώματα, καὶ καταλαβέσθαι, καὶ ἐξᾶραι πάντας τούτους ἐν ἡμέρᾳ μιᾷ. Καὶ ἀπέστρεψεν Ἰούδας καὶ
ἡ παρεμβολὴ αὐτοῦ ὁδὸν εἰς τὴν ἔρημον εἰς Βοσὸρ ἄφνω· καὶ κατελάβετο τὴν πόλιν, καὶ ἀπέκτεινε
πᾶν ἀρσενικὸν ἐν στόματι ῥομφαίας, καὶ ἔλαβε πάντα τὰ σκῦλα αὐτῶν, καὶ ἐνέπρησεν αὐτὴν
29. 30. πυρί. Καὶ ἀπῆρεν ἐκεῖθεν νυκτὸς, καὶ ἐπορεύετο ἕως ἐπὶ τὸ ὀχύρωμα. Καὶ ἐγένετο ἑωθινὴ,
καὶ ἦραν τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ ἰδοὺ λαὸς πολὺς οὗ οὐκ ἦν ἀριθμὸς, αἴροντες κλίμακας καὶ μη-
31. χανὰς καταλαβέσθαι τὸ ὀχύρωμα, καὶ ἐπολέμουν αὐτούς. Καὶ εἶδεν Ἰούδας ὅτι ἦρκται ὁ πόλεμος,
32. καὶ ἡ κραυγὴ τῆς πόλεως ἀνέβη εἰς τὸν οὐρανὸν σάλπιγξι καὶ φωνῇ μεγάλῃ. Καὶ εἶπε τοῖς ἀν-
33. δράσι τῆς δυνάμεως, Πολεμήσατε σήμερον ὑπὲρ τῶν ἀδελφῶν ὑμῶν. Καὶ ἐξῆλθεν ἐν τρισὶν ἀρ-
34. χαῖς ἐξ ὄπισθεν αὐτῶν, καὶ ἐσάλπισαν ταῖς σάλπιγξι, καὶ ἐβόησαν ἐν προσευχῇ. Καὶ ἐπέγνω
ἡ παρεμβολὴ Τιμοθέου ὅτι Μακκαβαῖός ἐστι, καὶ ἔφυγον ἀπὸ προσώπου αὐτοῦ, καὶ ἐπάταξεν αὐ-
35. τοὺς πληγὴν μεγάλην, καὶ ἔπεσον ἐξ αὐτῶν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ εἰς ὀκτακισχιλίους ἄνδρας. Καὶ
ἀπέκλινεν εἰς Μασφὰ, καὶ ἐπολέμησεν αὐτὴν, καὶ προκατελάβετο αὐτὴν, καὶ ἀπέκτεινε πᾶν ἀρ-
36. σενικὸν αὐτῆς, καὶ ἔλαβε τὰ σκῦλα αὐτῆς, καὶ ἐνέπρησεν αὐτὴν πυρί. Ἐκεῖθεν ἀπῆρε, καὶ προ-

νοις) 23. εν Αρβατοις 44. εν Αρηβατλοις 55. εν Αρβανοις 62. εν Αδραυτγους (ut videtur) 64. εν Αβαρτοις 71. εν Δραβυτλοις 93. εν Αρββατοις 106. *in Grabattis* Vet. Lat. ex MS. S. Germ. σὺν ταῖς—τέκνοις] συν γυναιξι και τεκνοις 44. ἤγαγεν] ηγαγον 23, 55, 56, 62, 74, 106, 243. Compl. Alex. μετ' εὐφροσύνης μεγάλης] ^ 71.

XXIV. ὁ Μακκαβαῖος] ὁ και Μακκαβαιος 55. ^ 71. ὁ ἀδελφὸς αὐτοῦ] ^ 71. ἐν τῇ ἐρήμῳ] ^ 52.

XXV. τοῖς Ναβαταίοις] τοις Αναβατλαιοις 23. τοις Βαταναιοις 56. αὐτοῖς εἰρην.] τουτοις ειρην. 44. καὶ διηγήσαντο] και διηγησατο 106. ἅπαντα] παντα 93. συμβάντα] συμβεβηκοτα 23. Alex. τοῖς ἀδελφοῖς αὐτῶν] αυτοις 44.

XXVI. Καὶ ὅτι πολλοὶ] ^ οτι 23. πολλοὶ ἐξ αὐτῶν] εξ αυτων πολλοι 62. εἰς Βόσσορα—Καρναΐν] *in Basara, et Bosor, et in Alcimis, Casphon, Maged, et Tharnen:* Vet. Lat. ubi supra. εἰς Βόσσορα] εις Βοσσαρα 64. εις Σοβορα 71. εις Βοσορρα 74, 93. Compl. ἐν Ἀλέμοις] εν Αλιμοις 23. præmitt. και 64, 93. ἐν Ἀλάμοις Alex. Χασφὼρ] Χασχωρ 44, 56, 74, 243. Compl. Ald. Χασβορ 71. Κασφωρ 106. Χασφὼρ, Μακὲδ] Σχαφωμακεδ 23. præmitt. και 64, 93. Μακὲδ] Μακεβ III. præmitt. και εν 64, 93. Μακελ 106. καὶ Καρναΐν] και Καρνειν III. και Καρναϊδ 23. και Καρναϊμ 56. Alex. ^ και 62. και Καρναειν 64. πᾶσαι &c. ad fin. com.] πασαι αυτης πολεις οχυραι και μεγαλαι 19. αὗται αἱ πολεις οχυραι και μεγαλαι 23. πᾶσαι αἱ πόλεις αὗται] ^ πασαι 71. ^ αἱ 93. *hæ civitates* Vet. Lat. ubi supra. ὀχυραὶ καὶ μεγάλαι] οχυραι καλαι και μεγαλαι 52. præmitt. αἱ 55.

XXVII. Καὶ ἐν ταῖς—συνειλημμένοι] ^ cum intermed. 71. συνειλημμένοι, καὶ εἰς αὔριον] εις αυριον συνειμμενοι (sic) και 55. καὶ εἰς αὔριον] ^ και 23, 74, 106, 243. Compl. Ald. habet καὶ in charact. minore Alex. τάσσονται] ταρασσονται 64. *constituerunt* Vet. Lat. ubi supra. Vulg. παρεμβάλλειν] παρεμβαλειν 44, 55, 56, 71, 74, 106. Compl. Ald. Alex. παραμβολαὶ (sic) 93. ἐπὶ τὰ ὀχυρώματα] ^ 93. καὶ καταλαβέσθαι] + αυτα 19, 64. ^ και 55. + και τας λοιπας πολεις της Γαλααδιτιδος 71. καταλαβεσθαι αυτα 93. πάντας τούτους] ^ τουτους 106. πάντας αὐτοὺς Alex.

XXVIII. ὁδὸν εἰς τὴν ἔρημον] ^ οδον 55. εἰς Βοσὸρ] ^ εις 19, 93. εις Βοσορρα 44, 62, 74, 243. Compl. Ald. εις Σορα 56. εις Βοσορα 71. εις Βοσσορα 106. εἰς Βοσὸρ ἄφνω] εις Βοσορραφῶν 23. + οδον τριων ημερων 55. *in Bosorram derepente* Vet. Lat. ubi supra. πᾶν ἀρσενικὸν] + αυτης 55. παν αρρενικον 74. πᾶν ἀρσενικὸν—ῥομφαίας] εν στοματι μαχαιρας παν αρσενικον 19. ἐν στόματι ῥομφαίας] ^ 71. πάντα τὰ σκῦλα αὐτῶν] τα σκυλα 71. καὶ ἐνέπρησεν αὐτὴν] ^ αυτην 93. *et succendit ea* Vet. Lat. ubi supra. πυρί] præmitt. εν 62.

XVIII. Καὶ ἐπέπεσεν αὐτῶν] και επεπεσεν αυτοις 55. και επεπεσεν επ᾽ αυτων 106. ὁ φόβος καὶ ὁ τρόμος] *timor* Vet. Lat. ubi supra. ἐπὶ πάντα τὸν λαὸν] εις παντα τον λαον III, 23, 62, 64, 93, 106. ∧ τον 74. ὅτι εἶπαν] οτι ειπον 23, 55, 62, 64, 93. ∧ ειπαν 106. Οὐκ ἔστιν] præmitt. ὅτι Ald. ἐν αὐτοῖς ἀλήθεια] ∧ εν αυτοις 19. ∧ εν 44, 93, 243. τὴν στάσιν] præmitt. την κρισιν και 19, 93. ὃν ὤμοσαν] ὃν εποιησαν 56.

XIX. καὶ παρενέβ. ἐν Βηζὲθ] *et applicuit in Begeth:* Vet. Lat. ubi supra. ἐν Βηζὲθ] εν Βαιθζαρα 19, 56, 93. εν Βαιθζεθ 23. εν Βηρωθ 44. εις Βηζοθ (fors. Βηζεθ) 55. εν Βηχεθ 62. εν Βεθζαρα 64. εν Βηρεθ 71. εν Ζηβεθ 106. ἐν Βηζαὶθ Compl. ἀπὸ τῶν ἀπ᾽ αὐτοῦ] απο των μετ᾽ αυτου III, 23, 44, 52, 56, 62, 71, 74, 243. Compl. Ald. και απο των 55. ∧ απ᾽ αυτου 64, 93. των μετ᾽ αυτου 106. *ex his qui ad eum* Vet. Lat. ubi supra. αὐτομολησάντων ἀνδρῶν] + απ᾽ αυτου 19, 64, 93. αυτομολησαντων μετ᾽ αυτου ανδρων 55.

XX. τὴν χώραν] την χειρα 52, 106. τῷ Ἀλκίμῳ] + και Ιακειμω 19. των Αλκιμω 62. + τω και Ιακιμω 64. + τω και Ιακειμω περι της ιερωσυνης 93. καὶ ἀπῆλθε Βακχίδης] και ηλθε Βακχιδης 19, 64, 93.

XXI. Καὶ ἠγωνίσατο] και ηγονιασατο 93. Ἄλκιμος] + και Ιακειμος 19. + ὁ και Ιακιμος (sic infra) 64. + και Ιακημος 93. περὶ τῆς ἀρχιερωσύνης] περι της ιερωσυνης 55, 106. ∧ 93.

XXII. πρὸς αὐτὸν—κατεκράτησαν] ∧ cum intermed. 56. πάντες οἱ] ∧ παντες 44. τὸν λαὸν αὐτῶν] τον λαον αυτον (corr. ab ead. m. αυτων) 93. καὶ κατεκράτησαν] και κατεκρατησε 19, 64. γῆν Ἰούδα] της γης Ιουδα 19, 64, 93. præmitt. την 44, 56. ἐν Ἰσραὴλ] εν Ιερουσαλημ 56, 62, 74. Compl.

XXIII. ἣν ἐποίησεν] ην εποιησαν 93. Ἄλκιμος] Αλκινος III. + ὁ και Ιακειμος 19. + ὁ και Ιακιμος 93.

XXIV. κυκλόθεν] præmitt. καὶ Alex. ἐν τοῖς ἀνδράσι τοῖς αὐτομολ.] ∧ εν 106. *in filios desertorum* Vet. Lat. ubi supra. τοῖς αὐτομολήσασι] τοις ανομησασι 55. præmitt. και 106. (Alex. inter uncos.) καὶ ἀνεστάλησαν] και αποσταλεισι 19, 64. (93. ut videtur.) τοῦ πορεύεσθαι] του πορευθηναι 55, 106. Alex. εἰς τὴν χώραν] ∧ τὴν Alex.





Digitized by Google

πορεύεσθαι εἰς τὴν χώραν. Ὡς δὲ εἶδεν Ἄλκιμος ὅτι ἐνίσχυσεν Ἰούδας καὶ οἱ μετ' αὐτοῦ, καὶ 25.
ἔγνω ὅτι οὐ δύναται ὑποστῆναι αὐτοὺς, καὶ ἐπέστρεψε πρὸς τὸν βασιλέα, καὶ κατηγόρησεν αὐτῶν
πονηρά. Καὶ ἀπέστειλεν ὁ βασιλεὺς Νικάνορα, ἕνα τῶν ἀρχόντων αὐτοῦ τῶν ἐνδόξων, καὶ μισοῦντα 26.
καὶ ἐχθραίνοντα τῷ Ἰσραὴλ, καὶ ἐνετείλατο αὐτῷ ἐξᾶραι τὸν λαόν. Καὶ ἦλθε Νικάνωρ εἰς Ἰε- 27.
ρουσαλὴμ δυνάμει πολλῇ, καὶ ἀπέστειλε πρὸς Ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ μετὰ δόλου λόγοις εἰ-
ρηνικοῖς, λέγων, Μὴ ἔστω μάχη ἀναμέσον ἐμοῦ καὶ ὑμῶν· ἥξω ἐν ἀνδράσιν ὀλίγοις, ἵνα ὑμῶν ἴδω 28.
τὰ πρόσωπα μετ' εἰρήνης. Καὶ ἦλθε πρὸς Ἰούδαν, καὶ ἠσπάσαντο ἀλλήλους εἰρηνικῶς· καὶ οἱ 29.
πολέμιοι ἦσαν ἕτοιμοι ἐξαρπάσαι τὸν Ἰούδαν. Καὶ ἐγνώσθη ὁ λόγος τῷ Ἰούδᾳ, ὅτι μετὰ δόλου 30.
ἦλθεν ἐπ' αὐτόν· καὶ ἐπτοήθη ἀπ' αὐτοῦ, καὶ οὐκ ἐβουλήθη ἔτι ἰδεῖν τὸ πρόσωπον αὐτοῦ. Καὶ 31.
ἔγνω Νικάνωρ ὅτι ἀπεκαλύφθη ἡ βουλὴ αὐτοῦ, καὶ ἐξῆλθεν εἰς συνάντησιν τῷ Ἰούδᾳ ἐν πολέμῳ
κατὰ Χαφαρσαλαμά. Καὶ ἔπεσον τῶν παρὰ Νικάνορος ὡσεὶ πεντακισχίλιοι ἄνδρες, καὶ ἔφυγον 32.
εἰς τὴν πόλιν Δαυίδ. Καὶ μετὰ τοὺς λόγους τούτους ἀνέβη Νικάνωρ εἰς τὸ ὄρος Σιών· καὶ ἐξῆλθον 33.
ἀπὸ τῶν ἱερέων ἐκ τῶν ἁγίων καὶ ἀπὸ τῶν πρεσβυτέρων τοῦ λαοῦ ἀσπάσασθαι αὐτὸν εἰρηνικῶς, καὶ
δεῖξαι αὐτῷ τὴν ὁλοκαύτωσιν τὴν προσφερομένην ὑπὲρ τοῦ βασιλέως. Καὶ ἐμυκτήρισεν αὐτοὺς, 34.
καὶ κατεγέλασεν αὐτῶν, καὶ ἐμίανεν αὐτοὺς, καὶ ἐλάλησεν ὑπερηφάνως. Καὶ ὤμοσε μετὰ θυμοῦ, 35.
λέγων, Ἐὰν μὴ παραδοθῇ Ἰούδας καὶ ἡ παρεμβολὴ αὐτοῦ εἰς χεῖράς μου τὸ νῦν, καὶ ἔσται ἐὰν
ἐπιστρέψω ἐν εἰρήνῃ, ἐμπυριῶ τὸν οἶκον τοῦτον· καὶ ἐξῆλθε μετὰ θυμοῦ μεγάλου. Καὶ εἰσῆλθον 36.
οἱ ἱερεῖς, καὶ ἔστησαν κατὰ πρόσωπον τοῦ θυσιαστηρίου καὶ τοῦ ναοῦ, καὶ ἔκλαυσαν, καὶ εἶπον, Σὺ 37.
Κύριε, ἐξελέξω τὸν οἶκον τοῦτον ἐπικληθῆναι τὸ ὄνομά σου ἐπ' αὐτῷ, εἶναι οἶκον προσευχῆς καὶ
δεήσεως τῷ λαῷ σου. Ποίησον ἐκδίκησιν ἐν τῷ ἀνθρώπῳ τούτῳ καὶ ἐν τῇ παρεμβολῇ αὐτοῦ, καὶ 38.
πεσέτωσαν ἐν ῥομφαίᾳ· μνήσθητι τῶν δυσφημιῶν αὐτῶν, καὶ μὴ δῷς αὐτοῖς μονήν. Καὶ ἐξῆλθε 39.
Νικάνωρ ἐξ Ἱερουσαλὴμ, καὶ παρενέβαλεν ἐν Βαιθωρὼν, καὶ συνήντησεν αὐτῷ δύναμις Συρίας.
Καὶ Ἰούδας παρενέβαλεν ἐν Ἀδασὰ ἐν τρισχιλίοις ἀνδράσι· καὶ προσηύξατο Ἰούδας, καὶ εἶπεν, 40.

XXV. Ὡς δὲ εἶδεν] *Ut audivit* Vet. Lat. ex MS. S. Germ. Ἄλκιμος] + ὁ και Ιακειμος 19, 93. ὅτι οὐ δύναται] ∧ οὐ 106. habet οὐ in charact. minore Alex. καὶ ἐπέστρεψε] ∧ και 44, 55, 64, 93. και απεστρεψε 56. πρὸς τὸν βασιλέα] *ad eos* Vet. Lat. ubi supra. αὐτῶν πονηρά] αυτου πηνηρα 23, 44, 62, 106. αυτω πονηρα 93.

XXVI. ὁ βασιλεὺς] + Δημητριος 56, 64, 93. τῶν ἀρχόντων αὐτοῦ] ∧ 52. τῶν ἐνδόξων, καὶ μισοῦντα] ∧ 71. καὶ ἐχθραίνοντα] και εχθρον οντα 64. τον εχθραινοντα 71. ἐξᾶραι τὸν λαόν] ἵνα ἀπαλείψῃ τὸν λαὸν ἀπὸ τοῦ τόπου. 8 Codices Sergii. τὸν λαόν] των λαων 243.

XXVII. Καὶ ἦλθε] και απηλθε 23. εἰς Ἱερουσαλὴμ] εν Ιερουσαλημ 19. εις Ιεροσολυμα 55. δυνάμει πολλῇ] præmitt. ἐν 19, 56, 64, 93. καὶ τοὺς ἀδελφοὺς αὐτοῦ] και προς τους αδελφους αυτου 74. μετὰ δόλου] ponit post λεγων ad fin. com. 64. μετὰ δόλου λόγοις εἰρηνικοῖς] λογοις ειρηνικοις μετα δολου 19, 93. λόγοις εἰρηνικοῖς] λογους ειρηνικους 106.

XXVIII. Μὴ ἔστω μάχη] μη εστω μαχαιρα 52, 62, 106. ἐμοῦ καὶ ὑμῶν] ημων 71. ἡμᾶς καὶ ὑμῶν Ald. ἥξω] præmitt. και 62, 93. ἵνα—πρόσωπα] ινα ιδω τα προσωπα υμων 19, 64, 93. ἵνα ὑμῶν ἴδω] ινα ειδω υμων 55. ἵνα ἴδω ὑμῶν Alex. μετ' εἰρήνης] εν ειρηνη 19, 55, 64, 93, 106.

XXIX. εἰρηνικῶς] ∧ 71. ἦσαν ἕτοιμοι] tr. 64.

XXX. ἦλθεν ἐπ' αὐτόν] ηλθεν προς αυτον 19, 55, 64, 93. καὶ οὐκ ἐβουλήθη] και ουκ εβουλετο 64.

XXXI. τῷ Ἰούδᾳ] ∧ τω 62. του Ιουδα 106. ἐν πολέμῳ] ∧ 19, 52, 56, 62, 64, 71, 74, 93, 106, 243. Compl. Ald. habet in charact. minore Alex. κατὰ Χαφαρσαλαμά] κατα Χαφερσαλαμα 19, 93. κατα Καφαρσαραμα 44, (55. cum X pro K) 243. κατα Χαρσαραμ 52. κατα Φαγαθ Ραμα 56. κατα Χαρσαραμα 62. κατα Χαφερ Σαλαμα 64. κατα Φάρσαραμα 71. κατα Καφαρσαμαρα 74. κατα Χαρφαρσαραμα (106. ut videtur) Alex. κατὰ Καφαρσαλαμὰ Compl. Ald. *secundum Capharsama*. Vet. Lat. ubi supra.

XXXII. Καὶ ἔπεσον] και επεσαν 106. Alex. τῶν παρὰ Νικάνορος] των μετα Νικανορος 64. ἐκ τῶν μέρεων (*a lateribus*) τοῦ Νικάνορος 5 Codices Sergii. ὡσεὶ πεντακισχίλιοι ἄνδρες] πεντακοσιοι ανδρες 19, 64, 71, 93. ωσει πεντακοσιοι ανδρες 44, 55, 74, 243. Compl. Ald. ως πεντακισχιλιοι ανδρες 62. Alex. ως πεντακισχιλιους ανδρας 106. *fere quingenti viri* Vet. Lat. ubi supra. εἰς τὴν πόλιν Δαυίδ] εις πολιν Ιουδα 71.

XXXIII. μετὰ τοὺς λόγους τούτους] ∧ 44, 71. ἀνέβη] ἦλθεν ἀνέβη 6 Codices Sergii. καὶ ἐξῆλθον] και εξηλθεν 106. καὶ ἐξῆλθαν Alex. ἀπὸ τῶν ἱερέων] εκ των ιερεων 44. ἐκ τῶν ἁγίων] απο των αγιων 62, 106. ∧ εκ 71. ὑπὲρ τοῦ βασιλέως] υπο του βασιλεως 106.

XXXIV. Καὶ ἐμυκτήρισεν αὐτοὺς] ∧ αυτους 44. καὶ κατεγέλασεν αὐτῶν] και κατεγελασεν αυτον (corr. αυτων) 62. καὶ ἐμίανεν αὐτοὺς] ∧ 44. και εμισησεν αυτους 106.

XXXV. εἰς χεῖρας] εις τας χειρας 64. εἰς χεῖρας—ἐπιστρέψω] *in manus meas, continuo cum regressus fuero* Vet. Lat. ubi supra. Vulg. εἰς χεῖράς μου τὸ νῦν] τὸ νῦν εἰς χεῖράς μου Alex. καὶ ἔσται—εἰρήνῃ] ὅτε ἰδοὺ ἐστὶν ὡς ἔσται, πλὴν ἐὰν ἐν τούτῳ ἐπιστρέψω εἰρήνῃ 6 Codices Sergii. καὶ ἔσται ἐὰν] ∧ εσται 71. μετὰ θυμοῦ μεγάλου] ∧ μεγαλου 19, 106. habet μεγάλου in charact. minore Alex.

XXXVI. τοῦ θυσιαστηρίου καὶ τοῦ ναοῦ] του ναου και του θυσιαστηριου 56. θυσιαστηρίου] βασιλεως (marg. ab al. m. θυσιαστηριου) 106. καὶ τοῦ ναοῦ] + και επεκαλεσαντο τον Θεον 55. καὶ εἶπον] και ειπαν 106. Alex.

XXXVII. Σὺ, Κύριε] ∧ Κυριε 23, 55, 62, 71, 74, 106, 243. Compl. Ald. Vet. Lat. ubi supra. habet Κύριε in charact. min. Alex. Κύριε πάντων, σὺ Codex unus Sergii. ἐξελέξω] ἐξέλεξας Ald. τὸν οἶκον] τὸν οἶκόν σου Codex unus Sergii. ἐπικληθῆναι] præmitt. του 44, 55, 74. ἐπ' αὐτῷ] επ' αυτον 19, 23, 55, 56, 62, 64, 106. Alex. επ' αυτου 44, 74. Compl. εἶναι] præmitt. του 19, 56, 64, 93. οἶκ. προσευχ. καὶ δεήσεως] *domum orationis* Vet. Lat. ubi supra. καὶ δεήσεως] και αινεσεως 52. ∧ 71. τῷ λαῷ σου] του λαου σου 19, 23, 106.

XXXVIII. Ποίησον ἐκδίκησιν] præmitt. και 55. καὶ πεσέτωσαν] και πεσατωσαν 23, 55, 106. Alex. ἐν ῥομφαίᾳ] παντες εν στοματι ρομφαιας 55. μνήσθητι] præmitt. και 56, 64, 93. τῶν δυσφημιῶν αὐτῶν] των δυσφημιων αυτου 106. μονὴν] υπομονην 64, 93. νομην 106.

XXXIX. ἐξ Ἱερουσαλὴμ] απο Ιερουσαλημ 74. καὶ παρενέβαλεν] και παρενεβαλον III. και παρενεβαλλεν 93. αὐτῷ] αυτοις 64. δύναμις Συρίας] δυναμεις Συριας 106.

XL. Καὶ Ἰούδας] ∧ Ιουδας 56. παρενέβαλεν] παρενεβαινεν (ex corr. m. secunda: olim παρεβενεν) 23. ἐν Ἀδασὰ] εν Αδασσα 74. εν Δασα 106.

Digitized by Google

ΚΕΦ. VII.

41. Οἱ παρὰ τοῦ βασιλέως Ἀσσυρίων ὅτε ἐδυσφήμησαν, ἐξῆλθεν ἄγγελός σου, Κύριε, καὶ ἐπάταξεν
42. ἐν αὐτοῖς ἑκατὸν ὀγδοηκονταπέντε χιλιάδας. Οὕτω σύντριψον τὴν παρεμβολὴν ταύτην ἐνώπιον
ἡμῶν σήμερον, καὶ γνώτωσαν οἱ ἐπίλοιποι, ὅτι κακῶς ἐλάλησαν ἐπὶ τὰ ἅγιά σου, καὶ κρῖνον αὐ-
43. τὸν κατὰ τὴν κακίαν αὐτοῦ. Καὶ συνῆψαν αἱ παρεμβολαὶ εἰς πόλεμον τῇ τρισκαιδεκάτῃ τοῦ μη-
44. νὸς Ἄδαρ, καὶ συνετρίβη ἡ παρεμβολὴ Νικάνορος, καὶ ἔπεσεν αὐτὸς πρῶτος ἐν τῷ πολέμῳ. Ὡς
45. δὲ εἶδεν ἡ παρεμβολὴ αὐτοῦ ὅτι ἔπεσε Νικάνωρ, ῥίψαντες τὰ ὅπλα αὐτῶν ἔφυγον. Καὶ κατεδί-
ωκον αὐτοὺς ὁδὸν ἡμέρας μιᾶς ἀπὸ Ἀδασὰ ἕως τοῦ ἐλθεῖν εἰς Γάζηρα, καὶ ἐσάλπισαν ὀπίσω αὐ-
46. τῶν ταῖς σάλπιγξι τῶν σημασιῶν. Καὶ ἐξῆλθον ἐκ πασῶν τῶν κωμῶν τῆς Ἰουδαίας κυκλόθεν,
καὶ ὑπερεκέρων αὐτοὺς, καὶ ἀνέστρεφον οὗτοι πρὸς τούτους· καὶ ἔπεσον πάντες ῥομφαίᾳ, καὶ οὐ κατ-
47. ελείφθη ἐξ αὐτῶν οὐδὲ εἷς. Καὶ ἔλαβον τὰ σκῦλα καὶ τὴν προνομὴν, καὶ τὴν κεφαλὴν Νικάνορος
ἀφεῖλον, καὶ τὴν δεξιὰν αὐτοῦ ἣν ἐξέτεινεν ὑπερηφάνως, καὶ ἤνεγκαν, καὶ ἐξέτειναν παρὰ τὴν
48. Ἱερουσαλήμ. Καὶ εὐφράνθη ὁ λαὸς σφόδρα, καὶ ἤγαγον τὴν ἡμέραν ἐκείνην ἡμέραν εὐφροσύνης
49. μεγάλης. Καὶ ἔστησαν τοῦ ἄγειν κατὰ ἐνιαυτὸν τὴν ἡμέραν ταύτην τὴν τρισκαιδεκάτην τοῦ Ἄδαρ.
50. Καὶ ἡσύχασεν ἡ γῆ Ἰούδα ἡμέρας ὀλίγας.

ΚΕΦ. VIII.

1. ΚΑΙ ἤκουσεν Ἰούδας τὸ ὄνομα τῶν Ῥωμαίων, ὅτι εἰσὶ δυνατοὶ ἰσχύϊ, καὶ αὐτοὶ εὐδοκοῦσιν ἐν πᾶσι
2. τοῖς προστιθεμένοις αὐτοῖς, καὶ ὅσοι ἂν προσέλθωσιν αὐτοῖς, ἱστῶσιν αὐτοῖς φιλίαν, Καὶ ὅτι
εἰσὶ δυνατοὶ ἰσχύϊ· καὶ διηγήσαντο αὐτῷ τοὺς πολέμους αὐτῶν, καὶ τὰς ἀνδραγαθίας ἃς ποιοῦσιν
3. ἐν τοῖς Γαλάταις, καὶ ὅτι κατεκράτησαν αὐτῶν καὶ ἤγαγον αὐτοὺς ὑπὸ φόρον, Καὶ ὅσα ἐποίησαν
4. ἐν χώρᾳ Ἱσπανίας, τοῦ κατακρατῆσαι τῶν μετάλλων τοῦ ἀργυρίου καὶ τοῦ χρυσίου τοῦ ἐκεῖ· Καὶ
κατεκράτησαν τοῦ τόπου παντὸς τῇ βουλῇ αὐτῶν καὶ τῇ μακροθυμίᾳ, καὶ ὁ τόπος ἦν μακρὰν ἀπ-
έχων ἀπ' αὐτῶν σφόδρα· καὶ τῶν βασιλέων τῶν ἐπελθόντων ἐπ' αὐτοὺς ἀπ' ἄκρου τῆς γῆς ἕως συν-
έτριψαν αὐτοὺς, καὶ ἐπάταξαν ἐν αὐτοῖς πληγὴν μεγάλην, καὶ οἱ ἐπίλοιποι διδόασιν αὐτοῖς φό-

XLI. Οἱ παρὰ—Ἀσσυρίων] οἱ παρα του Δαυιδ βασιλεως 44. *Eis qui erant a rege* Vet. Lat. ex MS. S. Germ. Ἀσσυρίων] ^ 23, 55, 62, 71, 74, 106, 243. Compl. Ald. Συριων 93. habet Ἀσσυρίων in charact. min. Alex. ἄγγελός σου, Κύριε] præmitt. ὁ 64, 93, 106. *angelus* Vet. Lat. ubi supra. Κύριε] ^ 23, 44, 62, 71, 74, 106, 243. Compl. Ald. habet Κύριε in charact. minore Alex. ἐν αὐτοῖς ἑκατὸν] αυτους εις εκατον 19, 64, 93. ^ εν 62, 106. ὀγδοηκονταπέντε χιλιάδας] ογδοηκοντα χιλιαδας 44. ογδοηκοντα χιλιαδων 56.

XLII. ὅτι κακῶς ἐλάλησαν] οτι κακως ελαλησεν 23. Alex. ἐπὶ τὰ ἅγιά σου] ^ σου 56. καὶ κρῖνον αὐτὸν] και κρινον αυτους 19, 55, 56, 64, 93. κατὰ τὴν κακίαν αὐτοῦ] κατα την κακ. αυτων 19, 55, 56, 64. (93. ex corr. a prima m.)

XLIII. Καὶ συνῆψαν] και συνηψαι 62. τῇ τρισκαιδεκάτῃ] ^ 71. τοῦ μῆνος Ἄδαρ] του μηνος Αδερ 23, 44, 74. ^ 71. ἡ παρεμβολὴ—εἶδεν in com. seq.] ^ cum intermed. 71. αὐτὸς πρῶτος] tr. 19, 64, 93.

XLIV. Ὡς δὲ εἶδεν] + αυτον 44. ὅτι ἔπεσε Νικάνωρ] τεθνηκοτα 44. οτι τεθνηκε Νικανωρ 55, 56, 71, 74. Compl. Ald.

XLV. Καὶ κατεδίωκον αὐτοὺς] + οἱ περι Ιουδαν 56, 64, 93. ἀπὸ Ἀδασὰ] απο Λασα 106. *ab Adassar* Vet. Lat. ubi supra. τοῦ ἐλθεῖν εἰς] ^ 62. εἰς Γάζηρα] εἰς Γάσηρα Ald. καὶ ἐσάλπισαν] και εσαλπιζον 23. ταῖς σάλπιγξι τῶν σημασιῶν] ^ 71. τη σαλπιγγι των σημ. 74.

XLVI. ἐκ πασῶν τῶν κωμῶν] εκ πασης 71. ἐκ πασῶν πόλεων ἐκεῖθεν 6 Codices Sergii. *de omnibus castellis* Vet. Lat. ubi supra. Vulg. τῶν κωμῶν] ^ των 64. τῶν κακωμῶν (sic) 93. τῆς Ἰουδαίας] της Ιδουμαιας 71. καὶ ὑπερεκέρων αὐτοὺς] και υπερηρων (corr. a prima m. υπερηρον) αυτους 23. και υπερεκετρων (sic) αυτους 56. και υπεκερων αυτους (62. ut videtur) 93. ^ 71. *et ventilabant eos* Vet. Lat. ubi supra. καὶ ἀνέστρεφον οὗτοι] και επεστρεφον ουτοι 19, 93. και ανεστρεφοντο ουτοι 55. και επεστρεψαν ουτοι 64. πρὸς τούτους] προς αυτους 23, 55. πρὸς τούτοις Alex. *ad nos* Vet. Lat. ubi supra. καὶ ἔπεσον πάντες] και επεσαν παντες 106. Alex.

XLVII. καὶ τὴν προνομὴν] και την τροπην 93. καὶ τὴν κεφ.—ἀφεῖλον] και αφειλον την κεφαλην Νικανορος 19, 64, 93. ἀφεῖλον] ^ 52, 71. αφειλαν 55. Alex. καὶ τὴν δεξιὰν &c. ad fin. com.] *et suspenderunt secus Jerusalem.* Vet. Lat. ubi supra. ὑπερηφάνως] εν υπερηφανεια 19. παρὰ τὴν Ἱερουσαλήμ] παρα τη Ιερουσαλημ 23. εις Ιερουσαλημ 55. περι την Ιερουσαλημ 56.

XLVIII. καὶ ἤγαγον &c. ad fin. com.] ^ 71. *in die illa.* Vet. Lat. ubi supra. ἡμέραν 2°] ^ 64. εὐφροσύνης μεγάλης] ευφροσυνης μεγαλην III. ^ μεγαλης 52.

XLIX. τοῦ ἄγειν] τοῦ ἀγαγεῖν Alex. τὴν ἡμέραν ταύτην] την ημεραν αυτην 93. τὴν τρισκαιδεκάτην] τη τρισκαιδεκατη 19, 23, 44, 74, 93, 106. Compl. Alex. τοῦ Ἄδαρ] Αδερ 44.

L. ἡ γῆ &c. ad fin. com.] ^ 93. ἡ γῆ Ἰούδα] Ιουδας 23.

I. ἰσχύϊ] præmitt. ἐν Alex. τοῖς προστιθεμένοις αὐτοῖς] τοις προτεθεμενοις αυτοις 19. τοις προτιθεμενοις αυτοις 44. Compl. τοις προτεθειμενοις αυτοις 106. τοῖς προστεθειμένοις αὐτοῖς, καὶ ὅσοι ἐὰν προστεθῶσιν αὐτοῖς Alex. *quæ postulabantur ab eis:* Vet. Lat. ubi supra. καὶ ὅσοι ἂν] και οσοι εαν 64, 93, 106. Alex. προσέλθωσιν αὐτοῖς] προτεθωσιν αυτοις 106. φιλίαν] + τοις προστιθεμενοις 56.

II. Καὶ ὅτι εἰσι] ^ και 19. καὶ διηγήσαντο αὐτῷ] και διηγησαντο αυτο 93. τοὺς πολέμους αὐτῶν] ^ αυτων 19. καὶ τὰς ἀνδραγαθίας] και τα ανδραγαθηματα 74. ἃς ποιοῦσιν] τας 71. ἃ ποιουσιν 74. ἐν τοῖς Γαλάταις] εν Γαλαταις 71. εν ταις Γαλαταις 93. *Galaditis* Vet. Lat. ubi supra. καὶ ὅτι—ἐποίησαν in com. seq.] ^ cum intermed. 71. κατεκράτ. αὐτῶν] *obtinuerunt eorum regionem* (sic infra) Vet. Lat. ubi supra.

III. ἐν χώρᾳ Ἱσπανίας] εν χωρα Σπανιας III, 23, 44, 55, 71, 106, 243. εν τη χωρα Ισπανιας 19. εν τη χωρα Σπανιας 64, 93. τῶν μετάλλων] των μελλων (m. sec. μεταλλων) 23. τοῦ ἀργυρίου] των αργυριου 62. καὶ τοῦ χρυσίου] ^ του 55. τοῦ ἐκεῖ] των εκει 19, 64.

IV. Καὶ κατεκράτησαν—συνέτριψ. αὐτοὺς] ^ cum intermed. 71. τοῦ τόπου παντὸς] ^ του 62. καὶ τῇ μακροθυμίᾳ] *et sapientia:* Vet. Lat. ubi supra. καὶ ὁ τόπος ἦν] και οτι τοπος ἦν 74. μακρὰν ἀπέχων] tr. 23. ἀπέχων ἀπ' αὐτῶν] απ' αυτων απεχων 106. καὶ τῶν—τῆς γῆς] *et reges qui superbierant illis ab extremo terræ* Vet. Lat. ubi supra. καὶ τῶν βασιλ. τῶν ἐπελθ.] και τους επελθοντας 19. και τους βασιλεις τους επελθοντας 64, 93. ἐπ' αὐτοὺς] ^ Ald. ἀπ' ἄκρου] επ' ακρου 93. Ald. ἕως συνέτριψαν] ^ εως 19, 64, 93. εως ακρως συνετριψαν 44. καὶ ἐπάταξαν] και επαταξεν III, 64, 93, 106. ἐν αὐτοῖς] ^ εν 93.

Digitized by Google

ρον κατ' ἐνιαυτόν· Καὶ τὸν Φίλιππον καὶ τὸν Περσέα Κιτιέων βασιλέα, καὶ τοὺς ἐπηρμένους ἐπ' 5.
αὐτοὺς, συνέτριψαν αὐτοὺς ἐν πολέμῳ, καὶ κατεκράτησαν αὐτῶν· Καὶ Ἀντίοχον τὸν μέγαν βασι- 6.
λέα τῆς Ἀσίας, τὸν πορευθέντα ἐπ' αὐτοὺς εἰς πόλεμον ἔχοντα ἑκατὸν εἴκοσι ἐλέφαντας καὶ ἵπ-
πον καὶ ἅρματα καὶ δύναμιν πολλὴν σφόδρα, καὶ συνετρίβη ἀπ' αὐτῶν· Καὶ ἔλαβον αὐτὸν ζῶν- 7.
τα, καὶ ἔστησαν αὐτοῖς διδόναι αὐτόν τε καὶ τοὺς βασιλεύοντας μετ' αὐτὸν φόρον μέγαν, διδόναι
ὅμηρα καὶ διαστολὴν, Καὶ χώραν τὴν Ἰνδικὴν, καὶ Μήδειαν, καὶ Λυδίαν, καὶ ἀπὸ τῶν καλλίστων 8.
χωρῶν αὐτῶν, καὶ λαβόντες αὐτὰς παρ' αὐτοῦ ἔδωκαν αὐτὰς Εὐμένει τῷ βασιλεῖ. Καὶ ὅτι οἱ ἐκ 9.
τῆς Ἑλλάδος ἐβουλεύσαντο ἐλθεῖν καὶ ἐξᾶραι αὐτοὺς, Καὶ ἐγνώσθη ὁ λόγος αὐτοῖς, καὶ ἀπέστει- 10.
λαν ἐπ' αὐτοὺς στρατηγὸν ἕνα, καὶ ἐπολέμησαν πρὸς αὐτοὺς, καὶ ἔπεσον ἐξ αὐτῶν τραυματίαι πολ-
λοὶ, καὶ ᾐχμαλώτευσαν τὰς γυναῖκας αὐτῶν καὶ τὰ τέκνα αὐτῶν, καὶ προενόμευσαν αὐτοὺς, καὶ
κατεκράτησαν τῆς γῆς αὐτῶν, καὶ καθεῖλον τὰ ὀχυρώματα αὐτῶν, καὶ κατεδουλώσαντο αὐτοὺς ἕως
τῆς ἡμέρας ταύτης· Καὶ τὰς ἐπιλοίπους βασιλείας, καὶ τὰς νήσους, ὅσοι ποτὲ ἀντέστησαν αὐτοῖς, 11.
κατέφθειραν, καὶ ἐδούλωσαν αὐτούς. Μετὰ δὲ τῶν φίλων αὐτῶν καὶ τῶν ἐπαναπαυομένων αὐτοῖς 12.
συνετήρησαν φιλίαν, καὶ κατεκράτησαν τῶν βασιλειῶν τῶν ἐγγὺς καὶ τῶν μακρὰν, καὶ ὅσοι ἤκουον
τὸ ὄνομα αὐτῶν ἐφοβοῦντο ἀπ' αὐτῶν· Ὅσοις δ' ἂν βούλωνται βοηθεῖν καὶ βασιλεύειν, βασιλεύ- 13.
ουσιν· οὓς δ' ἂν βούλωνται, μεθιστῶσι, καὶ ὑψώθησαν σφόδρα. Καὶ ἐν πᾶσι τούτοις οὐκ ἐπέθετο 14.
οὐδεὶς αὐτῶν διάδημα, καὶ οὐ περιεβάλοντο πορφύραν, ὥστε ἁδρυνθῆναι ἐν αὐτῇ. Καὶ βουλευτήριον 15.
ἐποίησαν ἑαυτοῖς, καὶ καθ' ἡμέραν ἐβουλεύοντο τριακόσιοι καὶ εἴκοσι, βουλευόμενοι διαπαντὸς περὶ
τοῦ πλήθους, τοῦ εὐκοσμεῖν αὐτούς· Καὶ πιστεύουσιν ἑνὶ ἀνθρώπῳ τὴν ἀρχὴν αὐτῶν κατ' ἐνιαυτὸν, 16.
καὶ κυριεύειν πάσης τῆς γῆς αὐτῶν, καὶ πάντες ἀκούουσι τοῦ ἑνὸς, καὶ οὐκ ἔστι φθόνος οὐδὲ ζῆλος
ἐν αὐτοῖς. Καὶ ἐπέλεξεν Ἰούδας τὸν Εὐπόλεμον υἱὸν Ἰωάννου τοῦ Ἀκκὼς, καὶ Ἰάσονα υἱὸν Ἐλεα- 17.
ζάρου, καὶ ἀπέστειλεν αὐτοὺς εἰς Ῥώμην, στῆσαι αὐτοῖς φιλίαν καὶ συμμαχίαν, Καὶ τοῦ ἆραι τὸν 18.

V. Καὶ τὸν Φίλιππον] ^ τον 19, 64. καὶ τὸν Περσέα] ^ Περσεα 19, 93. ^ και 64. *et Persæna* Vet. Lat. ex MS. S. Germ. Κιτιέων βασιλέα] Κιτιδιων βασιλεα 19. Κιτιαιων βασιλεα 23. Κιτεων βασιλεα 64. Κιτιδιον βασιλεα 93. Κηταιων βασιλεα 106. *Cithiorum regem* Vet. Lat. ubi supra. συνέτριψαν αὐτοὺς] præmitt. εως 23. ^ αυτους 55, 71. συνετριψεν αυτους 93. ἐν πολέμῳ] ^ εν 19, 55, 56, 64, 71, 74, 93, 106. Compl. Ald. πολεμον 62. habet ἐν in charact. minore Alex. αὐτῶν] αυτον 106.

VI. τὸν μέγαν βασιλέα] ^ μεγαν 71. τον βασιλεα τον μεγαν 74. τῆς Ἀσίας] ^ της 71. ἐπ' αὐτοὺς] εις αυτους 19. εἴκοσι ἐλέφαντας] præmitt. και 93. καὶ συνετρίβη] και συνετριψαν 19, 56, 64, 93. ἀπ' αὐτῶν] αυτον 19, 56, 64, 93. υπ' αυτων 23.

VII. καὶ ἔστησαν] και εστησεν 55. αὐτοῖς διδόναι] tr. 19, 64, 93. ^ αυτοις 55. αυτοις και διδοναι 62. μετ' αὐτὸν] μετ' αυτων 23. *cum eo* Vet. Lat. ubi supra. φόρον μέγαν] + κατ' ενιαυτον 19, 56, 64, 93. ^ 55. φορον μεγαλην 106. διδόναι ὅμηρα] præmitt. και 19, 55. Alex. και διδοναι ὅμηραν 93. καὶ διαστολὴν] *et constitutum* Vet. Lat. ubi supra. Vulg.

VIII. καὶ Μηδείαν] και την Μηδειαν 55. καὶ Λυδίαν] ^ Alex. καὶ ἀπὸ τῶν καλλίστων] ^ και 19, 64, 93. χώρων αὐτῶν] χωρων αυτου 56, 64, 93. λαβόντες αὐτὰς] λαβοντες αυτους 93. παρ' αὐτοῦ ἔδωκαν] παρ' αυτων εδωκαν 19. Εὐμένει] Ευμενη 106.

IX. οἱ ἐκ τῆς Ἑλλάδος] ^ οἱ 93.

X. ὁ λόγος αὐτοῖς] αυτοις ὁ λογος 19, 93. ἐπ' αὐτοὺς] ^ 44. προς αυτους 62, 93. επ' αυτοις 64. *ad eum* Vet. Lat. ubi supra. ἐπ' αὐτοὺς—ἐπολέμησαν] ^ cum intermed. 56. καὶ ἐπολέμησαν] και επολεμησεν 19. καὶ ἔπεσον ἐξ αὐτῶν] και επεσαν εξ αυτων 55, 106. Alex. και επεσεν εξ αυτων 62. τραυμ. πολλοὶ] *multi* Vet. Lat. ubi supra. καὶ ᾐχμαλώτευσαν] και ηχμαλωτισαν (23. ex corr. a prima m.) 55, 106, 243. Ald. Alex. και ηχμαλωτησαν 56. (62. scr. αιχμαλωτησαν.) τὰς γυναῖκας αὐτῶν] præmitt. αυτους, και 52. præmitt. πολλους και 55, 56, 62. πολλας γυναικας αυτων 71. præmitt. πολλους 74, 243. Compl. Ald. καὶ τὰ τέκνα αὐτῶν] ^ 52. και τεκνα 71. καὶ προενόμευσαν—ὀχυρώματα αὐτῶν] ^ cum intermed. 71. καὶ προενόμευσαν αὐτοὺς] και επρονομευσαν αυτους 55, 62. Alex. καὶ κατεκράτησαν—ὀχυρώμ. αὐτῶν] ^ cum intermed. 56. τὰ ὀχυρώματα αὐτῶν] + και επρονομευσαν αυτους 23, 62, 106. Alex. + και προενομευσαν αυτους 74. Compl. Ald.

XI. Καὶ τὰς—νήσους] *et residua regna* Vet. Lat. ubi supra. ὅσοι ποτε] præmitt. και 55, 56, 62, 64, 93. οἱ ποτε 106. ἀντέστησαν αὐτοῖς] ανεστησαν αυτοις III, 106. ανεστησαν επ' αυτους 23. κατέφθειραν] + αυτους και εσκυλευσαν 19, 64, 93. και κατεφθειραν αυτους, και εσκυλευσαν 56. præmitt. και 106. καὶ ἐδούλωσαν αὐτοὺς] και εδουλωσαν αυτοις III, 106. και κατεδουλωσαντο αυτους 19, 56, 64. και εδουλευσαν αυτους 55. και κατεδουλωσαν αυτους 93.

XII. Μετὰ δὲ τῶν φιλῶν αὐτῶν] μετα δε των φιλων αυτου 93. συνετήρησαν] + αυτοις 52, 55, 56, 62, 71, 106, 243. Compl. Ald. Alex. + αυτοι 74. καὶ κατεκράτησαν] και εκρατησαν 106. καὶ κατεκράτησαν &c. ad fin. com. seq.] *et obtinuerunt reges promiscuos: et qui longe erant, audiebant nomen eorum, et timebant: quos autem volunt, amovent: exaltati enim sunt valde.* Vet. Lat. ubi supra. τῶν βασιλείων] των βασιλεων 19. αυτων βασιλεων 93. καὶ ὅσοι ἤκουον] και οσοι ηκουσαν 62, 106. Compl. Alex. τὸ ὄνομα αὐτῶν] το ονομα αυτου 19. ἀπ' αὐτῶν] αυτους 106.

XIII. Ὅσοις δ' ἂν] και οἷς αν 19. præmitt. και 56. οσοι δ' αν 62. και οἷς εαν 64. και οσοι εαν 93. οἷς δ' αν 106. Alex. ὅσους δ' ἂν Compl. βούλωνται 1°] βουλονται 93. βουλοιντο 106. βοηθεῖν—βούλωνται 2°] ^ cum intermed. 56. καὶ βασιλεύειν] + αυτους 19, 64. + αυτοις 93. βασιλεύουσιν] βασιλευσουσιν III. οὓς δ' ἂν βούλωνται] και οὓς εαν βουλονται 64, 93. οὓς δ' αν βουλονται 106.

XIV. Καὶ ἐν πᾶσι] και εν απασι 55, 62. Alex. οὐκ ἐπέθετο] ουκ επεθεντο 23, 93. Alex. οὐδεὶς αὐτῶν] αυτων ουδε εἷς 19, 23, 64, 93. καὶ οὐ &c. ad fin. com.] ^ 71. καὶ οὐ περιεβάλοντο] ουδε περιεβαλοντο 23. και οὐ περιεβαλετο 62, 93. ὥστε ἁδρυνθῆναι] ωστε ανδρυνθηναι 56, 62. εν τω αδρυνθηναι 71, 74. ωστε αδρυθηναι 106. ἐν αὐτῇ] επ' αυτω 19. επ' αυτην 93.

XV. καὶ καθ' ἡμέραν] ^ και 23. καὶ εἴκοσι] ^ και 44. βουλευόμενοι] βουλομενοι 19. præmitt. οἱ 23. περὶ τοῦ πλήθους] περι το πληθος 56. ^ περι 64. τοῦ εὐκοσμεῖν αὐτοὺς] του ευκοσμειν εαυτους 23, 62, 106. Alex. *ut et qui ea gerent:* Vet. Lat. ubi supra.

XVI. ἑνὶ ἀνθρώπῳ] ενι ανδρι 19, 64, 93. τὴν ἀρχὴν αὐτῶν] αρχειν αυτων 23, 44, 52, 55, 56, 62, 106, 243. Compl. Ald. Alex. αρχειν αυτους 74. καὶ κυριεύειν] και κυριευει 64. και κυριευη 93. πάσης τῆς γῆς] ^ πασης 71. οὐδὲ ζῆλος] ἢ ζηλος 106.

XVII. Καὶ ἐπέλεξεν Ἰούδας] και επελεξατο Ιουδας 23. τὸν Εὐπόλεμον] τον Απολεμον 56. τὸν Εὐπόλεμον—Ἀκκὼς] ἐξ ἑκάστης σπείρας ἐκεῖθεν τὸν Ἀπόλεμον τὸν Ἄκκωνα υἱὸν Ἰωναθάνου 10 Codices Sergii. τοῦ Ἀκκὼς] του Αχχως III, 106. του Ιακκως 23. του Ακακως 56. καὶ Ἰάσονα] και Ισωνα 56. στῆσαι αὐτοῖς] ^ αυτοις 106.

XVIII. Καὶ τοῦ ἆραι] ^ και 71. ἀπ' αὐτῶν] habet ἀπ' in char.

Digitized by Google

ΚΕΦ. VIII.

19. ζυγὸν ἀπ' αὐτῶν, ὅτι ἴδον τὴν βασιλείαν τῶν Ἑλλήνων καταδουλουμένους τὸν Ἰσραὴλ δουλείαν. Καὶ
ἐπορεύθησαν εἰς Ῥώμην, καὶ ἡ ὁδὸς πολλὴ σφόδρα, καὶ εἰσῆλθον εἰς τὸ βουλευτήριον, καὶ ἀπεκρί-
20. θησαν καὶ εἶπον, Ἰούδας ὁ Μακκαβαῖος καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ τὸ πλῆθος τῶν Ἰουδαίων ἀπέστει-
λαν ἡμᾶς πρὸς ὑμᾶς, στῆσαι μεθ' ὑμῶν συμμαχίαν καὶ εἰρήνην, καὶ γραφῆναι ἡμᾶς συμμάχους
21. 22. καὶ φίλους ὑμῶν. Καὶ ἤρεσεν ὁ λόγος ἐνώπιον αὐτῶν, Καὶ τοῦτο τὸ ἀντίγραφον τῆς ἐπιστολῆς ἧς
ἀντέγραψεν ἐπὶ δέλτοις χαλκαῖς, καὶ ἀπέστειλεν εἰς Ἱερουσαλὴμ εἶναι παρ' αὐτοῖς ἐκεῖ μνημόσυνον
23. εἰρήνης καὶ συμμαχίας· Καλῶς γένοιτο Ῥωμαίοις καὶ τῷ ἔθνει Ἰουδαίων ἐν τῇ θαλάσσῃ καὶ ἐπὶ
24. τῆς ξηρᾶς εἰς τὸν αἰῶνα, καὶ ῥομφαία καὶ ἐχθρὸς μακρυνθείη ἀπ' αὐτῶν. Ἐὰν δὲ ἐνστῇ πόλεμος
25. ἐν Ῥώμῃ προτέρᾳ ἢ πᾶσι τοῖς συμμάχοις αὐτῶν ἐν πάσῃ κυρείᾳ αὐτῶν, Συμμαχήσει τὸ ἔθνος
26. τῶν Ἰουδαίων, ὡς ἂν ὁ καιρὸς ὑπογραφῇ αὐτοῖς, καρδίᾳ πλήρει. Καὶ τοῖς πολεμοῦσιν οὐ δώσουσιν
οὐδὲ ἐπαρκέσουσι σῖτον, ὅπλα, ἀργύριον, πλοῖα, ὡς ἔδοξε Ῥωμαίοις· καὶ φυλάξονται τὰ φυ-
27. λάγματα αὐτῶν οὐθὲν λαβόντες. Κατὰ τὰ αὐτὰ δὲ ἐὰν ἔθνει Ἰουδαίων συμβῇ προτέροις πόλε-
28. μος, συμμαχήσουσιν οἱ Ῥωμαῖοι ἐκ ψυχῆς, ὡς ἂν αὐτοῖς ὁ καιρὸς ὑπογραφῇ. Καὶ τοῖς συμμα-
χοῦσιν οὐ δοθήσεται σῖτος, ὅπλα, ἀργύριον, πλοῖα, ὡς ἔδοξε Ῥώμῃ· καὶ φυλάξονται τὰ φυ-
29. λάγματα αὐτῶν, καὶ οὐ μετὰ δόλου. Κατὰ τοὺς λόγους τούτους ἔστησαν Ῥωμαῖοι τῷ δήμῳ τῶν Ἰου-
30. δαίων. Ἐὰν δὲ μετὰ τοὺς λόγους τούτους βουλεύσωνται οὗτοι καὶ οὗτοι προσθεῖναι ἢ ἀφελεῖν, ποιή-
31. σονται ἐξ αἱρέσεως αὐτῶν, καὶ ὃ ἐὰν προσθῶσιν ἢ ἀφέλωσιν, ἔσται κύρια. Καὶ περὶ τῶν κακῶν
ὧν ὁ βασιλεὺς Δημήτριος συντελεῖται εἰς αὐτούς, ἐγράψαμεν αὐτῷ, λέγοντες, Διατί ἐβάρυνας
32. τὸν ζυγόν σου ἐπὶ τοὺς φίλους ἡμῶν τοὺς συμμάχους Ἰουδαίους; Ἐὰν οὖν ἔτι ἐντύχωσι κατὰ σοῦ,
ποιήσομεν αὐτοῖς τὴν κρίσιν, καὶ πολεμήσομέν σε διὰ τῆς θαλάσσης καὶ διὰ τῆς ξηρᾶς.

ΚΕΦ. IX.

1. ΚΑΙ ἤκουσε Δημήτριος ὅτι ἔπεσε Νικάνωρ καὶ αἱ δυνάμεις αὐτοῦ ἐν πολέμῳ, καὶ προσέθετο τὸν
Βακχίδην καὶ τὸν Ἄλκιμον ἐκ δευτέρου ἀποστεῖλαι εἰς γῆν Ἰούδα, καὶ τὸ δεξιὸν κέρας μετ' αὐτῶν.

minore Alex. ὅτι ἴδον] οτι ειδον 44, 74. Compl. Ald. τὴν βασιλείαν] ∧ την 93. καταδουλουμένους] καταδουλωσαμενους 55. καταδουλομενους 106. τὸν Ἰσραὴλ δουλείαν] τω Ισραηλ δουλεια 19. τον Ισραηλ δουλεια 62, 93. τον Ισραηλ δουλειας 106.

XIX. Καὶ ἐπορεύθησαν] + οἱ περι τον Ευπολεμον 19, 64, 93. + οἱ περι τον πολεμον 56. καὶ ἡ ὁδὸς—βουλευτήριον] *et intraverunt in curiam* Vet. Lat. ex MS. S. Germ. εἰς τὸ βουλευτήριον, καὶ] εἰς οἶκον μυστηρίων (εἰς βουλευτήριον), ἔστησαν ἐν μέσῳ, καὶ 4 Codices Sergii. ſic, niſi ἔστησαν ἀφ' ἡμῶν, 2 Codices Sergii. καὶ ἀπεκρίθησαν] ∧ 44. Vet. Lat. ubi ſupra. Vulg. καὶ εἶπον] ∧ 106. habet in char. min. Alex.

XX. Ἰούδας ὁ Μακκαβαῖος] Ιουδας ὁ και Μακκαβαιος 44, 74. Ald. Alex. ∧ ὁ Μακκαβαιος 56. καὶ οἱ ἀδελφοὶ αὐτοῦ] και οἱ αδελφοι αυτοι 23. καὶ τὸ πλῆθος] και οἱ λοιποι 52. ἀπέστειλαν] και απεστειλαν 106. ἡμᾶς πρὸς ὑμᾶς] υμας προς ημας 93. μεθ' ὑμῶν] μεθ' ημων 106. Ald. καὶ φίλους ὑμῶν] και φιλους ημων 23, 62, 93. ∧ υμων 56.

XXI. ἐνώπιον αὐτῶν] εναντιον αυτων 23.

XXII. τὸ ἀντίγραφον] ∧ το 56, 62. τῆς ἐπιστολῆς] της γραφης III, 23, 55, 62, 106. *ſcripturæ* Vet. Lat. ubi ſupra. ἧς ἀντέγραψεν] οἷς αντεγραψαν 19. ἧς αντεγραψαν 55, 64, 106. Alex. ἧς επεγραψεν 56. ἐπὶ δέλτοις χαλκαῖς] επι δεκτοις χαλκαις III. καὶ ἀπέστειλεν] και απεστειλαν 23, 62, 64, 93, 106. Alex. εἰς Ἱερουσαλὴμ] εν Ιερουσαλημ 74. παρ' αὐτοῖς ἐκεῖ] παρ' αυτου (dub. an αυτων) τοις εκει 71.

XXIII. καὶ ῥομφαία &c. ad fin. com.] *gladius et inimicus elonget ab eis.* Vet. Lat. ubi ſupra.

XXIV. Ἐὰν δὲ ἐνστῇ] εαν δε στη 62. ἐν Ῥώμῃ] ∧ εν 19, 23, 55, 56, 62, 64, 106. εν τη Ρωμη 93. habet ἐν in charact. minore Alex. ἢ πᾶσι] εν πασι 64. ἢ πᾶσι &c. ad fin. com.] ∧ 71.

XXV. Συμμαχήσει] συμμαχηση (corr. m. ſecunda ut in Ed.) 23. ὡς ἂν ὁ καιρὸς] ὃς αν ὁ καιρος 93. ∧ αν 106. ὑπογραφῇ] υπογραφει 106. καρδίᾳ πλήρει] καρδια πληρης 106.

XXVI. οὐ δώσουσιν] ∧ 93. οὐδὲ ἐπαρκέσουσι] ponit ſtatim poſt πλοια 23. σῖτον] ∧ 23. ὡς ἔδοξε Ῥωμαίοις] ως εδοξε Ρωμη 23, 55, 62. Alex. ως εν Ρωμη 106. οὐθὲν λαβόντες] οθεν λαβοντες III.

XXVII. Κατὰ τὰ αὐτὰ] κατα ταυτα 64, 74. ἐὰν ἔθνει] οἱ εν τω εθνει 19. εαν τω εθνει 56. εαν και τω εθνει 64. εν τω εθνει 93. Ἰουδαίων] Ιουδαιοις 56. συμβῇ] præmitt. και 106. συμμαχήσουσι] συμμαχησωσι 23. ὡς ἂν &c. ad fin. com.] *prout eis tempus permiſerit:* Vet. Lat. ubi ſupra. Vulg. ὡς ἂν αὐτοῖς] ∧ αυτοις 64.

XXVIII. Καὶ τοῖς συμμαχοῦσιν] και τοις πολεμουσιν 55. ἀργύριον] αργυρια 74. πλοῖα] habet in charact. minore Alex. ὡς ἔδοξε Ῥώμῃ] *ſicut placuit Romanis ita ſe facturos:* Vet. Lat. ubi ſupra. καὶ φυλάξονται] ∧ και 62, 106. τὰ φυλάγματα αὐτῶν] τα φυλαγματα ταυτα III, 23, 44, 52, 55, 62, 71, 74, 106, 243. Compl. Ald. + ουθεν λαβοντες 19. (56. ſcr. οὐθ' ἕν.) + ουθεν λαμβανοντες 64. φυλαγματα αυτων ουθεν λαβοντες 93. *mandata hæc* Vet. Lat. ubi ſupra.

XXIX. ἔστησαν Ῥωμαῖοι] præmitt. ουτως 19, 23, 52, 56, 62, 64, 93, 106. Alex. τῷ δήμῳ] τον Δημητριον 106.

XXX. Ἐὰν δὲ] και εαν 44. βουλεύσωνται οὗτοι] βουλευωνται αυτοι 74. βουλευσονται ουτοι 93, 106. Ald. οὗτοι καὶ οὗτοι] ουτοι ητοι 23. καὶ οὗτοι] ἢ ουτοι 106. προσθεῖναι] προσθηναι (23. corr. ab al. m. ut in Ed.) Compl. ποιήσονται] ποιησωνται 106. ἔσται κύρια] ἔσται κυριον 19, 64, 93.

XXXI. συντελ. εἰς αὐτοὺς] *perfecit* Vet. Lat. ubi ſupra. εἰς αὐτοὺς] εις υμας 19, 23, 62, 64, 93. υμας 52. Διατί ἐβάρυνας] διατι εβαρυνες 44. τοὺς φίλους ἡμῶν] τους φιλους υμων 93. τοὺς συμμάχους] + ημων 19, 56, 64. + υμων 93.

XXXII. Ἐὰν οὖν—κατὰ σοῦ] *Si ergo adjecerint adhuc adverſus te* Vet. Lat. ubi ſupra. ποιήσομεν αὐτοῖς] ποιησωμεν αὐτοις 44, 93. Compl. τὴν κρίσιν] την εκδικησιν 55. ∧ την 93. καὶ πολεμήσομέν σε] και πολεμησωμεν 44. και πολεμησομεν σοι 71. ∧ σε 74. διὰ τῆς θαλάσσης] ∧ της 44, 71. καὶ διὰ τῆς ξηρᾶς] ∧ δια της 44. ∧ δια 64, 93. ∧ της 71.

I. ὅτι ἔπεσεν Νικάνωρ] οτι εποιησεν Νικανωρ III, 44, 52, 55, 56, 71, 74, 106, 243. Compl. Ald. καὶ αἱ δυνάμεις αὐτοῦ] καὶ ἡ δυναμις αυτου 23. ∧ αἱ Compl. ἐν πολέμῳ] πολεμον III, 44, 52, 55, 56, 71, 74, 106, 243. Compl. Ald. ∧ εν 62, 64, 93. ἀποστεῖλαι] ponit ſtatim ante τον Βακχιδην 19, 64, 93. εἰς γῆν Ἰούδα] εις την γην Ιουδα 64.



Digitized by Google

# ΜΑΚΚΑΒΑΙΩΝ Α.

ΚΕΦ. IX.

Καὶ ἐπορεύθησαν ὁδὸν τὴν εἰς Γάλγαλα, καὶ παρενέβαλον ἐπὶ Μαισαλὼθ τὴν ἐν Ἀρβήλοις, καὶ 2.
προκατελάβοντο αὐτὴν, καὶ ἀπώλεσαν ψυχὰς ἀνθρώπων πολλάς. Καὶ τοῦ μηνὸς τοῦ πρώτου ἔτους 3.
τοῦ δευτέρου καὶ πεντηκοστοῦ καὶ ἑκατοστοῦ παρενέβαλον ἐπὶ Ἱερουσαλήμ. Καὶ ἀπῆραν καὶ ἐπορεύ- 4.
θησαν εἰς Βερέαν ἐν εἴκοσι χιλιάσιν ἀνδρῶν καὶ δισχιλίᾳ ἵππῳ. Καὶ Ἰούδας ἦν παρεμβεβληκὼς 5.
ἐν Ἐλεασὰ, καὶ τρισχίλιοι ἄνδρες ἐκλεκτοὶ μετ᾽ αὐτοῦ. Καὶ ἴδον τὸ πλῆθος τῶν δυνάμεων ὅτι 6.
πολλοί εἰσι, καὶ ἐφοβήθησαν σφόδρα· καὶ ἐξεῤῥύησαν πολλοὶ ἀπὸ τῆς παρεμβολῆς, οὐ κατελεί-
φθησαν ἐξ αὐτῶν ἀλλ᾽ ἢ ὀκτακόσιοι ἄνδρες. Καὶ εἶδεν Ἰούδας, ὅτι ἀπεῤῥύη ἡ παρεμβολὴ αὐτοῦ, 7.
καὶ ὁ πόλεμος ἔθλιβεν αὐτόν· καὶ συνετρίβη τῇ καρδίᾳ, ὅτι οὐκ εἶχε καιρὸν συναγαγεῖν αὐτούς.
Καὶ ἐξελύθη, καὶ εἶπε τοῖς καταλειφθεῖσιν, Ἀναστῶμεν καὶ ἀναβῶμεν ἐπὶ τοὺς ὑπεναντίους ἡμῶν, 8.
ἐὰν ἄρα δυνώμεθα πολεμῆσαι αὐτούς. Καὶ ἀπέστρεψαν αὐτὸν, λέγοντες, Οὐ μὴ δυνώμεθα, ἀλλ᾽ 9.
ἢ σώζωμεν τὰς ἑαυτῶν ψυχὰς τὸ νῦν, καὶ ἐπιστρέψωμεν μετὰ τῶν ἀδελφῶν ἡμῶν, καὶ πολεμήσω-
μεν πρὸς αὐτοὺς, ἡμεῖς δὲ ὀλίγοι. Καὶ εἶπεν Ἰούδας, Μή μοι γένοιτο ποιῆσαι τὸ πρᾶγμα τοῦτο, 10.
φυγεῖν ἀπ᾽ αὐτῶν, καὶ εἰ ἤγγικεν ὁ καιρὸς ἡμῶν, καὶ ἀποθάνωμεν ἐν ἀνδρείᾳ χάριν τῶν ἀδελφῶν
ἡμῶν, καὶ μὴ καταλίπωμεν αἰτίαν τῇ δόξῃ ἡμῶν. Καὶ ἀπῆρεν ἡ δύναμις ἀπὸ τῆς παρεμβολῆς, 11.
καὶ ἔστησαν εἰς συνάντησιν αὐτοῖς, καὶ ἐμερίσθη ἡ ἵππος εἰς δύο μέρη, καὶ οἱ σφενδονηταὶ καὶ οἱ
τοξόται προεπορεύοντο τῆς δυνάμεως, καὶ οἱ πρωταγωνισταὶ πάντες οἱ δυνατοί. Βακχίδης δὲ ἦν 12.
ἐν τῷ δεξιῷ κέρατι, καὶ ἤγγισεν ἡ φάλαγξ ἐκ τῶν δύο μερῶν, καὶ ἐφώνουν ταῖς σάλπιγξι. Καὶ 13.
ἐσάλπισαν οἱ παρὰ Ἰούδα καὶ αὐτοὶ ταῖς σάλπιγξι, καὶ ἐσαλεύθη ἡ γῆ ἀπὸ τῆς φωνῆς τῶν παρ-
εμβολῶν· καὶ ἐγένετο ὁ πόλεμος συνημμένος ἀπὸ πρωΐθεν ἕως ἑσπέρας. Καὶ εἶδεν Ἰούδας ὅτι 14.
Βακχίδης καὶ τὸ στερέωμα τῆς παρεμβολῆς ἐν τοῖς δεξιοῖς· καὶ συνῆλθον αὐτῷ πάντες οἱ εὔψυχοι
τῇ καρδίᾳ. Καὶ συνετρίβη τὸ δεξιὸν κέρας ἀπ᾽ αὐτῶν, καὶ ἐδίωκον ὀπίσω αὐτῶν ἕως Ἀζώτου ὄρους. 15.

II. Καὶ ἐπορεύθησαν] + οἱ περι τον Βακχιδην 19, 56, 64, 93. ὁδὸν τὴν] ∧ την 19. præmitt. την 62, 106. τὴν εἰς Γάλγαλα] εις γην Γαλααδ 64. την εις Γαλααδ 93. καὶ παρενέβαλον] και παρενεβαλοσαν 62. Alex. και παρενελαβοσαν 106. ἐπὶ Μαισαλὼθ] επι Μασσαλωθ 64. επι Μασσαδωθ 93. επι Μεσαλωθ 106. Compl. (Alex. cum dupl. σ.) τὴν ἐν Ἀρβ.] ∧ την 44. καὶ προκατελάβοντο αὐτὴν] και προκατελαβοσαν αυτην 106. *et occupaverunt illum* Vet. Lat. ex MS. S. Germ. καὶ ἀπώλεσαν] και απωλεσεν III, 64. ἀνθρώπων πολλάς] tr. 56.

III. τοῦ μηνὸς—ἑκατοστοῦ] ∧ cum intermed. 71. ἔτους—ἑκατοστοῦ] ετους εκατοσαυ πεντηκοσου δευτερου 44. τοῦ δευτέρου] ∧ του 56, 62, 64, 93, 106. Alex. καὶ ἑκατοστοῦ] καὶ ἑκάστως τοῦτον (sic) 93. παρενέβαλον] παρεβαλον 106. ἐπὶ Ἱερουσαλήμ] εις Ιερουσαλημ III, 55.

IV. Καὶ ἀπῆρ. καὶ ἐπορεύθ.] *et inde abierunt* Vet. Lat. ubi supra. εἰς Βερέαν] εις Βενηρζαθ 19, 93. εις Βεραιαν 44. εις Βαρεαν 56. εις Βενηρθαζ 64. *in Berethiim* Vet. Lat. ubi supra. ἐν εἴκοσι] ∧ εν 56. καὶ δισχιλίᾳ ἵππῳ] και δισχιλιων ιππων 23. και ιπποις δισχιλιοις 44. και δισχιλια ιππων 55. (62. scr. ιππον.) και δισχιλια ιππος 93. και δισχιλιασιν ιππων 106. Alex.

V. ἐν Ἐλεασὰ] εν Αλασα III, 55. εν Ελασα 23, 62, 64, 93. εν Εελασα 44. ∧ 52. εν Ελασσα 106. *in Elesa* Vet. Lat. ubi supra. *in Laisa* Vulg. ἐκλεκτοὶ μετ᾽ αὐτοῦ] μετ᾽ αυτου εκλεκτοι 23. præmitt. ὡπλισμένοι Codex unus Sergii.

VI. Καὶ ἴδον] και ειδον 44, 74. Compl. Ald. τῶν δυνάμεων] της δυναμεως 64, 93. ∧ 71. ὅτι πολλοί εἰσι] + οἱ υπεναντιοι 19, 56, 64, 93. ∧ 71. Vet. Lat. ubi supra. ἀπὸ τῆς παρεμβολῆς] εκ της παρεμβολης 64. οὐ κατελείφθησαν] οὐ κατελειφθη 23. præmitt. και 62. ἀλλ᾽ ἢ ὀκτακόσιοι] αλλ᾽ ἢ ως οκτακοσιοι 23.

VII. ἡ παρεμβ. αὐτοῦ] *exercitus* Vet. Lat. ubi supra. καὶ ὁ πόλεμος] και ὁ πολεμιος 56. ∧ 71. ἔθλιβεν αὐτὸν] ∧ 71. καὶ συνετρίβη &c. ad fin. com.] ∧ 56. συναγαγεῖν αὐτοὺς] præmitt. του 55.

VIII. Καὶ ἐξελύθη] ∧ 71. Vet. Lat. ubi supra. καὶ ἐξεληλύθη (sic) 74. καὶ ἀναβῶμεν] και αναλαβωμεν 55. ἐπὶ τοὺς ὑπεναντίους] προς τους υπεναντιους 23. ἡμῶν] ημιν III. ἐὰν ἄρα δυνώμεθα] εαν αρα δυνηθωμεν 55. πολεμῆσαι αὐτούς] πολεμησαι προς αυτους 23. τί ἀπολέσαι ἀπ᾽ αὐτῶν 10 Codices Sergii.

IX. Καὶ ἀπέστρεψαν αὐτὸν] και απεστρεφον αυτον 23. και απεστρεψαν αυτοι 71. λέγοντες] και ειπον αυτω 44. Οὐ μὴ δυνώμεθα] + πολεμησαι προς αυτους 23, 55. ∧ μη 44. οὐ μη δυνησομεθα 62, 106. οὐ δυνησωμεθα 71. οὐ μη δυνωμεν 93. οὐ μὴ δυνησώμεθα Alex. ἀλλ᾽ ἢ σώζωμεν] αλλα σωζωμεν 62, 64, 93. αλλα ζησωμεν 106. ψυχὰς &c. ad fin. com.] ψυχας οἱ αδελφοι ημων απερρυησαν και το νυν επιστρεψον ημεις ολιγοι 44. τὸ νῦν, καὶ ἐπιστρ.] το νυν επιστρ. 23. *et revertamur* Vet. Lat. ubi supra. καὶ ἐπιστρέψωμεν] και επιστρεψουσι 52. ∧ και 55. επιστρεψον 56, 62, 71, 74, 106, 243. Compl. Ald. habet καὶ in charact. minore Alex. μετὰ τῶν ἀδελφῶν ἡμῶν] και οἱ αδελφοι ημων 23, 55, 56, 62, 71, 74, 106, 243. sic, sine και, 52. καὶ οἱ ἀδελφοὶ ἡμῶν ἀπεῤῥύησαν Compl. Ald. *ad fratres nostros* Vet. Lat. ubi supra. καὶ πολεμήσωμεν] και μη πολεμησωμεν 23. præmitt. απερρυησαν 56, 71, 243. και πολεμησομεν 62, 106. Compl. Ald. απερρυησαν και πολεμησομεν 74. ἡμεῖς δὲ ὀλίγοι] υμεις δε ολιγοι 62.

X. Καὶ εἶπεν Ἰούδας] ∧ Ιουδας 64. Μή μοι γένοιτο] ∧ μοι 23, 55. ποιῆσαι] ∧ 44. præmitt. του 93. ponit post τοῦτο Compl. φυγεῖν ἀπ᾽ αὐτῶν] præmitt. του 64, 93. καὶ εἰ ἤγγικεν] καν ηγγικεν 19. ∧ εἰ 44, 56, 74, 93, 106, 243. Compl. Ald. ∧ 71. habet εἰ in char. minore Alex. ὁ καιρὸς ἡμῶν] ∧ 71. καὶ ἀποθάνωμεν] ∧ και 23, 56, 62, 93. και αποθανομεν 106. ἐν ἀνδρείᾳ] ανδρειως 23, 55, 56, 74. ∧ ἐν Compl. Ald. habet ἐν in charact. minore Alex. ∧ Vet. Lat. ubi supra. καὶ μὴ &c. ad fin. com.] ∧ 71. καὶ μὴ καταλίπωμεν] και μη καταλειπωμεν 23. καὶ μη καταλειπομεν 106.

XI. Καὶ ἀπῆρεν ἡ δύναμις] *Et movit exercitum* Vet. Lat. ubi supra. εἰς συνάντησιν αὐτοῖς] αυτοις εις συναντησιν 19, 64, 93. εἰς δύο μέρη] εις τα δυο μερη 93. ∧ εἰς Compl. Ald. προεπορεύοντο] προσεπορευοντο 23. καὶ οἱ πρωταγωνισταὶ] και οἱ προγονισται (sic) 56. ∧ οἱ 62. καὶ οἱ προαγωνισταὶ Compl. πάντες οἱ δυνατοί] *omnes potentes viri in bello.* Vet. Lat. ubi supra.

XII. Βακχίδης δὲ ἦν] και Βακχιδης ἦν 19, 64, 93.

XIII. Καὶ ἐσάλπισαν] και εσαλπιζον 19, 64, 93. Καὶ ἐσάλπισαν—σάλπιγξι] ∧ cum intermed. 52, 56. οἱ παρὰ Ἰούδα] και οἱ παρα Ιουδου III. præmitt. και 19, 64, 93. Alex. καὶ αὐτοὶ] ∧ 19, 71. Vet. Lat. ubi supra. και ουτοι 62. ponit post σαλπιγξι 64. ταῖς σάλπιγξι] ∧ ταις 44, 106. ∧ 71. καὶ ἐσαλεύθη] καὶ ἐσείσθη Alex. ἀπὸ τῆς φωνῆς] habet τῆς φωνῆς in charact. minore Alex. τῶν παρεμβολῶν] της παρεμβολης 106. + αὐτων Alex. ὁ πόλεμος] ∧ ὁ 64. συνημμένος] συνηγμενος III. ∧ 44, 71. ἀπὸ πρωΐθεν] απο πρωι 71. ἕως ἑσπέρας] εως εσπερους 62.

XIV. αὐτῷ πάντες] αυτοι παντες 93. πάντες &c. ad fin. com.] οἱ τῃ καρδιᾳ ευψυχοι 44. οἱ εὔψυχοι] οἱ εμψυχοι 93. οἱ ἄψυχοι Ald.

XV. κέρας ἀπ᾽ αὐτῶν] μερος υπ᾽ αυτων 19. (93. scr. μερας.) ∧ απ᾽ 23. κερας υπ᾽ αυτων 64. καὶ ἐδίωκον] και εδιωκεν III, 19, 52, 62, 64, 106. ὀπίσω αὐτῶν] οπισω αυτου 19. αυτους 52. οπισω

Digitized by Google

ΚΕΦ. IX.

16. Καὶ οἱ εἰς τὸ ἀριϛερὸν κέρας ἴδον ὅτι συνετρίβη τὸ δεξιὸν κέρας, καὶ ἐπέϛρεψαν κατὰ πόδας Ἰȣ́δα
17. καὶ τῶν μετ᾽ αὐτȣ͂ ἐκ τῶν ὄπισθεν. Καὶ ἐβαρύνθη ὁ πόλεμος, καὶ ἔπεσον τραυματίαι πολλοὶ ἐκ
18. 19. τȣ́των καὶ ἐκ τȣ́των. Καὶ Ἰȣ́δας ἔπεσε, καὶ οἱ λοιποὶ ἔφυγον. Καὶ ἦραν Ἰωνάθαν καὶ Σίμων
20. Ἰȣ́δαν τὸν ἀδελφὸν αὐτῶν, καὶ ἔθαψαν αὐτὸν ἐν τῷ τάφῳ τῶν πατέρων αὐτȣ͂ ἐν Μωδεεῒμ. Καὶ
ἔκλαυσαν αὐτὸν, καὶ ἐκόψαντο αὐτὸν πᾶς Ἰσραὴλ κοπετὸν μέγαν, καὶ ἐπένθȣν ἡμέρας πολλὰς,
21. 22. καὶ εἶπον, Πῶς ἔπεσε δυνατὸς, σώζων τὸν Ἰσραήλ; Καὶ τὰ περισσὰ τῶν λόγων Ἰȣ́δα, καὶ τῶν
πολέμων, καὶ τῶν ἀνδραγαθιῶν ὧν ἐποίησε, καὶ τῆς μεγαλωσύνης αὐτῶν, οὐ κατεγράφη, πολλὰ
23. γὰρ ἦν σφόδρα. Καὶ ἐγένετο μετὰ τὴν τελευτὴν Ἰȣ́δα, ἐξέκυψαν οἱ ἄνομοι ἐν πᾶσι τοῖς ὁρίοις
24. Ἰσραὴλ, καὶ ἀνέτειλαν πάντες οἱ ἐργαζόμενοι τὴν ἀδικίαν. Ἐν ταῖς ἡμέραις ἐκείναις ἐγενήθη
25. λιμὸς μέγας σφόδρα, καὶ ηὐτομόλησεν ἡ χώρα μετ᾽ αὐτῶν. Καὶ ἐξέλεξε Βακχίδης τοὺς ἀσεβεῖς
26. ἄνδρας, καὶ κατέϛησεν αὐτȣ̀ς κυρίȣς τῆς χώρας. Καὶ ἐξεζήτȣν καὶ ἐξηρεύνων τοὺς φίλους Ἰȣ́δα,
27. καὶ ἦγον αὐτȣ̀ς πρὸς Βακχίδην· καὶ ἐξεδίκει ἐν αὐτοῖς, καὶ ἐνέπαιζεν αὐτοῖς. Καὶ ἐγένετο θλί-
28. ψις μεγάλη ἐν τῷ Ἰσραὴλ, ἥτις οὐκ ἐγένετο ἀφ᾽ ἧς ἡμέρας οὐκ ὤφθη προφήτης ἐν αὐτοῖς. Καὶ
29. ἠθροίσθησαν πάντες οἱ φίλοι Ἰȣ́δα, καὶ εἶπον τῷ Ἰωνάθαν, Ἀφ᾽ οὗ ὁ ἀδελφός σου Ἰȣ́δας τετε-
λεύτηκε, καὶ ἀνὴρ ὅμοιος αὐτῷ οὐκ ἔϛιν ἐξελθεῖν πρὸς τȣ̀ς ἐχθρȣ̀ς, καὶ Βακχίδην, καὶ ἐν τοῖς
30. ἐχθραίνουσι τȣ͂ ἔθνους ἡμῶν. Νῦν ȣ͂ν σε ἠρετισάμεθα σήμερον, τȣ͂ εἶναι ἀντ᾽ αὐτȣ͂ ἡμῖν εἰς ἄρ-
31. χοντα, καὶ ἡγȣ́μενον, τȣ͂ πολεμῆσαι τὸν πόλεμον ἡμῶν. Καὶ ἐπεδέξατο Ἰωνάθαν ἐν τῷ καιρῷ
32. ἐκείνῳ τὴν ἥγησιν καὶ ἀνέϛη ἀντὶ Ἰȣ́δα τȣ͂ ἀδελφȣ͂ αὐτȣ͂. Καὶ ἔγνω Βακχίδης, καὶ ἐζήτει αὐτὸν
33. ἀποκτεῖναι. Καὶ ἔγνω Ἰωνάθαν, καὶ Σίμων ὁ ἀδελφὸς αὐτȣ͂, καὶ πάντες οἱ μετ᾽ αὐτȣ͂, καὶ ἔφυ-
34. γον εἰς τὴν ἔρημον Θεκωὲ, καὶ παρενέβαλον ἐπὶ τὸ ὕδωρ λάκκου Ἀσφάρ. Καὶ ἔγνω Βακχίδης
35. τῇ ἡμέρᾳ τῶν σαββάτων, καὶ ἦλθεν αὐτὸς, καὶ πᾶν τὸ ϛράτευμα αὐτȣ͂ πέραν τȣ͂ Ἰορδάνȣ. Καὶ
ἀπέϛειλεν Ἰωνάθαν τὸν ἀδελφὸν αὐτȣ͂ ἡγȣ́μενον τȣ͂ ὄχλȣ, καὶ παρεκάλεσε τȣ̀ς Ναυαταίȣς φίλȣς

αυτω 62. ἕως Ἀζώτου ὄρους] εως του Αζωτου ορους 106. *usque ad Zoti montem.* Vet. Lat. ex MS. S. Germ.

XVI. Καὶ οἱ εἰς τὸ ἀριϛερὸν] και οἱ επι το αριϛερον 19. ∧ οἱ 56, 106. κέρας 1°] μερος 19. ἴδον] ειδον 19, 74. Compl. Ald. τὸ δεξίον κέρας] ∧ κερας 44, 71. + απ᾽ αυτων και εδιωκον οπισω αυτων εως Αζωτȣ ορους 56. καὶ ἐπέϛρεψαν] και επεϛρεψεν 23, 71. κατὰ πόδας Ἰȣ́δα] κατα ποδας Ιȣδȣ (23. corr. m. ſec. Ιουδα, et ſic alibi) Compl.

XVII. καὶ ἔπεσον] καὶ ἔπεσαν Alex. πολλοὶ ἐκ τȣ́των] ∧ πολλοι 19, 93. καὶ ἐκ τȣ́των] ∧ (52. ut videtur) 71.

XIX. Καὶ ἦραν] και ηρεν 62, 106. Ἰȣ́δαν τὸν ἀδελφὸν αὐτῶν] ∧ 93. τὸν ἀδελφὸν αὐτῶν] τον αδελφον αυτȣ III. τῶν πατέρων αὐτȣ͂] ∧ αυτȣ 56. των πατερων αυτων 64, 93. ἐν Μωδεεῒμ] εν Μωδειν 44, 56, 71, 243. Compl. εν Μωαδειμ 106. *in Modiim civitate.* Vet. Lat. ubi ſupra.

XX. Καὶ ἔκλαυσαν αὐτὸν] και εκλαυσαν τον Ιȣδαν 19, 93. + ἐκεῖ Alex. καὶ ἐκόψαντο αὐτὸν] ∧ 71. Vet. Lat. ubi ſupra. κοπετὸν μέγαν] ∧ 71. κοπετὸν μέγαν—καὶ εἶπον] *planctu magno dies multos, et dixerunt:* Vet. Lat. ubi ſupra. καὶ εἶπον] και ειπαν 55, 74, 106. Compl. Alex. ∧ 71.

XXI. Totum comma deeſt 71.

XXII. Ἰȣ́δα] Ιȣδȣ (ſic alibi) 243. Alex. καὶ τῶν πολέμων] ∧ 71. καὶ τῆς μεγαλωσύνης αὐτῶν] και της μεγαλωσυνης αυτȣ 55, 64, 93, 106. Alex. ∧ 71. πολλὰ γὰρ ἦν] πολλη γαρ ην 23.

XXIII. ἐξέκυψαν] εξεκοψαν 23. *merſerunt ſe* Vet. Lat. ubi ſupra. οἱ ἄνομοι] νομοι 93. τοῖς ὁρίοις Ἰσραὴλ] τοις υιοις Ισραηλ 52. καὶ ἀνέτειλαν] και ανεκυψαν 23. και ενετειλαντο 56. τὴν ἀδικίαν] την ανομιαν 44, 106.

XXIV. Ἐν ταῖς ἡμέραις ἐκείναις] ∧ 44. ἐγενήθη] εγενετο 19, 93. præmitt. και 44. μέγας σφόδρα] μεγαλη σφοδρα 62, 106. Alex. καὶ ηὐτομόλησεν &c. ad fin. com.] *et deſervit regio cum ipſis.* Vet. Lat. ubi ſupra.

XXVI. καὶ ἐξηρεύνων] και ηρευνων 23. και εξηρευνȣν 64, 106. ∧ 71. τȣ̀ς φίλους Ἰȣ́δα] τȣς φιλȣς Ιȣδαν 62. τȣς φιλους Ιȣδȣ 74. καὶ ἦγον αὐτȣ̀ς] και ηγαγον αυτȣς 23. πρὸς Βακχίδην] προς τον Βακχιδην 64. καὶ ἐξεδίκει &c. ad fin. com.] *et vindicabant eos.* Vet. Lat. ubi ſupra. καὶ ἐξεδίκει ἐν αὐτοῖς] και εξεδικα αυτȣς III, 71, 74, 106, 243. και εξεδικει αυτȣς 23, 55, 56, 62. Compl. Ald. Alex. και εξεδικȣν αυτȣς 44. καὶ ἐνέπαιζεν αὐτοῖς] και ενεπαιζον αυτοις III. και ενεπαιζαν αυτοις (corr. ut in Ed. a m. ſec.) 23.

XXVII. ἐν τῷ Ἰσραὴλ] ∧ εν τῳ 64. ∧ τῳ 93. προφήτης ἐν αὐτοῖς] ∧ εν 19, 44, 74, 106. Compl. habet ἐν in charact. minore Alex.

XXVIII. Καὶ ἠθροίσθησαν] και συνηθροισθησαν 64. Ἰȣ́δα] Ιȣδȣ 74. καὶ εἶπον] και ειπαν 55.

XXIX. καὶ ἀνὴρ] ∧ και 64. ὅμοιος αὐτῷ] ομοιος αυτȣ 106. οὐκ ἔϛιν] ουκ εξεϛιν 93. ἐξελθεῖν] + και εισελθειν 23. πρὸς τοὺς ἐχθρȣ̀ς] προς τους εχθραινοντας 56. καὶ Βακχίδην] ∧ και 56. καὶ ἐν τοῖς &c. ad fin. com.] ∧ Vet. Lat. ubi ſupra. καὶ ἐν τοῖς ἐχθραίνουσι] + ημιν 19, 64. ∧ εν 56. και εν τοις ȣσιν εχθροις 106. τȣ͂ ἔθνους ἡμῶν] præmitt. απο 19. præmitt. και απο 64. ημιν 93. τȣ γενȣς ημων 106.

XXX. ἀντ᾽ αὐτȣ͂ ἡμῖν] ημιν αντ᾽ αυτȣ 19, 93. ημιν ενταυθα 64. τȣ͂ πολεμῆσαι] τȣ πολεμισαι 106. τȣ͂ πολεμ. τὸν πόλ. ἡμῶν] *ad bellum.* Vet. Lat. ubi ſupra.

XXXI. Καὶ ἐπεδέξατο] και επελεξατο 19, 62. και υπεδεξατο 56. και επελεξαντο 106. Καὶ ἐπεδέξατο &c. ad fin. com.] *Et elegerunt Jonatham in ducatum in loco Judæ fratris ſui.* Vet. Lat. ubi ſupra. ἐν τῷ—ἥγησιν] ∧ cum intermed. 71. τὴν ἥγησιν] την ητησιν III. την αιτησιν 106. ἀντὶ Ἰȣ́δα] ἀντὶ Ἰȣ́δȣ Ald.

XXXII. καὶ ἐζήτει] και εζητȣν 56.

XXXIII. Σίμων—πάντες] ∧ cum intermed. 71. ὁ ἀδελφὸς αὐτȣ͂] ∧ ὁ 74. καὶ πάντες οἱ μετ᾽ αὐτȣ͂] ∧ 93. Θεκωὲ] *Thecuæ* Vet. Lat. ubi ſupra. Vulg. καὶ παρενέβαλον] και παρενεβαλεν 56. και παρενεβαλλον 106. καὶ παρενέβαλον &c. ad fin. com.] *et conſedit ad aquam.* Vet. Lat. ubi ſupra. ἐπὶ τὸ ὕδωρ] ∧ το 106. λάκκου Ἀσφὰρ] λακκου Ασφαρ III. præmitt. τȣ 55.

XXXIV. Καὶ ἔγνω &c. ad fin. com.] *Bacchides die ſabbatorum, et omnis exercitus ejus trans Jordanem.* Vet. Lat. ubi ſupra. τῇ ἡμέρᾳ] την ημεραν 19, 93. καὶ πᾶν] ∧ παν 56. τὸ ϛράτευμα αὐτȣ͂] ∧ το 93. πέραν τȣ͂ Ἰορδάνου] περαν τȣ Ιορδανη III.

XXXV. Καὶ ἀπέϛειλεν Ἰωνάθαν] ∧ Ιωναθαν 23, 44, 55, 62, 71, 74, 106, 243. Compl. Ald. Vet. Lat. ubi ſupra. και απεϛειλεν ὁ Ιωναθαν 93. habet Ἰωνάθαν in charact. minore Alex. τὸν ἀδελφὸν αὐτȣ͂] præmitt. Ιωαννην 19. Ιωαννην αδελφον αυτȣ 64. τον Ιωαννην αδελφον αυτȣ 93. τȣ͂ ὄχλȣ] ∧ τȣ 64, 93. καὶ παρεκάλεσε] και παρακαλεσαι 71. και παρεκαλεσαν 93. τȣ̀ς Ναυαταίȣς] τȣς Ναβαταιους 23, 44, 62, 71, 93, 106 Compl. Alex. φίλȣς αὐτȣ͂] ∧ αυτȣ 56. Vet. Lat. ubi ſupra. παραθέσθαι αὐτοῖς] τȣ παραθεσθαι αυτȣς 23. *commendare illis* Vet. Lat. ubi ſupra.

Digitized by Google

αὐτȣ͂ παραθέσθαι αὐτοῖς τὴν ἀποσκευὴν αὐτῶν τὴν πολλήν. Καὶ ἐξῆλθον υἱοὶ Ἰαμβρὶ ἐκ Μη- 36.
δαβὰ, καὶ συνέλαβον Ἰωάννην, καὶ πάντα ὅσα εἶχε, καὶ ἀπῆλθον ἔχοντες. Μετὰ δὲ τȣ̀ς λόγȣς 37.
τȣ́τȣς ἀπήγγειλαν τῷ Ἰωνάθαν καὶ Σίμωνι τῷ ἀδελφῷ αὐτȣ͂, ὅτι οἱ υἱοὶ Ἰαμβρὶ ποιȣ͂σι γάμον
μέγαν, καὶ ἄγουσι τὴν νύμφην ἀπὸ Ναδαβὰθ, θυγατέρα ἑνὸς τῶν μεγιςάνων μεγάλων τῶν Χα-
ναὰν, μετὰ παραπομπῆς μεγάλης. Καὶ ἐμνήσθησαν Ἰωάννου τȣ͂ ἀδελφȣ͂ αὐτῶν, καὶ ἀνέβησαν, 38.
καὶ ἐκρύβησαν ὑπὸ τὴν σκέπην τȣ͂ ὄρȣς. Καὶ ἦραν τȣ̀ς ὀφθαλμȣ̀ς αὐτῶν, καὶ ἴδον, καὶ ἰδȣ̀ θρȣ͂ς, 39.
καὶ ἀποσκευὴ πολλὴ, καὶ ὁ νυμφίος ἐξῆλθε, καὶ οἱ φίλοι αὐτȣ͂, καὶ οἱ ἀδελφοὶ αὐτȣ͂ εἰς συνάν-
τησιν αὐτῶν μετὰ τυμπάνων, καὶ μȣσικῶν, καὶ ὅπλων πολλῶν. Καὶ ἐξανέςησαν ἐπ᾽ αὐτȣ̀ς ἀπὸ 40.
τȣ͂ ἐνέδρου οἱ περὶ τὸν Ἰωνάθαν, καὶ ἀπέκτειναν αὐτȣ̀ς, καὶ ἔπεσον τραυματίαι πολλοὶ, καὶ οἱ
ἐπίλοιποι ἔφυγον εἰς τὸ ὄρος· καὶ ἔλαβον πάντα τὰ σκῦλα αὐτῶν. Καὶ μετεςράφη ὁ γάμος εἰς 41.
πένθος, καὶ ἡ φωνὴ μȣσικῶν αὐτῶν εἰς θρῆνον. Καὶ ἐξεδίκησαν τὴν ἐκδίκησιν αἵματος ἀδελφȣ͂ 42.
αὐτῶν, καὶ ἀπέςρεψαν εἰς τὸ ἕλος τοῦ Ἰορδάνου. Καὶ ἤκȣσε Βακχίδης, καὶ ἦλθε τῇ ἡμέρᾳ τῶν 43.
σαββάτων ἕως τῶν κρηπίδων τȣ͂ Ἰορδάνȣ ἐν δυνάμει πολλῇ. Καὶ εἶπεν Ἰωνάθαν τοῖς παρ᾽ αὐτȣ͂, 44.
Ἀναςῶμεν νῦν καὶ πολεμήσωμεν ὑπὲρ τῶν ψυχῶν ἡμῶν, οὐ γάρ ἐςι σήμερον ὡς ἐχθὲς καὶ τρί-
την ἡμέραν. Ἰδȣ̀ γὰρ ὁ πόλεμος ἐξεναντίας ἡμῶν καὶ ἐξόπισθεν ἡμῶν· τὸ δὲ ὕδωρ τȣ͂ Ἰορδάνου 45.
ἔνθεν καὶ ἔνθεν, καὶ ἕλος καὶ δρυμὸς, ȣ̓κ ἔςι τόπος τȣ͂ ἐκκλῖναι. Νῦν ȣ͂ν κεκράξατε εἰς ȣ̓ρανὸν, 46.
ὅπως διασωθῆτε ἐκ χειρὸς ἐχθρῶν ὑμῶν. Καὶ συνῆψεν ὁ πόλεμος· καὶ ἐξέτεινεν Ἰωνάθαν τὴν 47.
χεῖρα αὐτȣ͂ πατάξαι τὸν Βακχίδην, καὶ ἐξέκλινεν ἀπ᾽ αὐτȣ͂ εἰς τὰ ὀπίσω. Καὶ ἐνεπήδησεν Ἰω- 48.
νάθαν καὶ οἱ μετ᾽ αὐτȣ͂ εἰς τὸν Ἰορδάνην, καὶ διεκολύμβησαν εἰς τὸ πέραν· καὶ οὐ διέβησαν ἐπ᾽
αὐτȣ̀ς τὸν Ἰορδάνην. Καὶ διέπεσον παρὰ Βακχίδου τῇ ἡμέρᾳ ἐκείνῃ εἰς χιλίους ἄνδρας. Καὶ 49. 50.
ἐπέςρεψεν εἰς Ἱερουσαλὴμ, καὶ ᾠκοδόμησε πόλεις ὀχυρὰς ἐν τῇ Ἰουδαίᾳ, τὸ ὀχύρωμα τὸ ἐν Ἱε-

XXXVI. υἱοὶ Ἰαμβρὶ] υιοι Αμβρι (ſic infra) 44, 71. Compl. præmitt. οἱ 55. υιοι Αμβροι 56. οἱ υιοι Αμβρει 64, 93. οἱ υιοι Αμβρι (ſic infra) 74. οἱ υιοι Ιαβρειμ 106. οἱ υἱοὶ Ἰαμβρεὶν Alex. *filii Iambri* Vet. Lat. ex MS. S. Germ. ἐκ Μηδαβὰ] εκ Μιδαβα 44. εκ Μηδαβας 55. præmitt. οἱ 62, 93. εκ Βηδαμα 106. *qui ex Dabas* Vet. Lat. ubi ſupra. Ἰωάννην] præmitt. τον 55. Ἰωάννην—εἶχε] *Jonathæ omnia quæ habebat* Vet. Lat. ubi ſupra. καὶ ἀπῆλθον] και απηλθαν 106. καὶ ἀπῆλθ. ἔχοντ.] *et abierunt.* Vet. Lat. ubi ſupra.

XXXVII. Μετὰ δὲ τȣ̀ς λόγȣς τȣ́τȣς] και εγενετο μετα τȣς λογȣς τȣτȣς 19. ∧ 44, 71. ἀπήγγειλαν] præmitt. και 44, 71. απηγγειλεν 56. τῷ Ἰωνάθαν] ∧ τω 23, 44, 56, 62, 71, 106. Compl. Ιωναθα 74. habet τῷ in charact. min. Alex. καὶ Σίμωνι] ∧ 71. τῷ ἀδελφῷ αὐτȣ͂] + και Ναθαν 19. ∧ 71. ὅτι οἱ υἱοὶ] ∧ οἱ 44, 56, 62, 93. habet οἱ in char. min. Alex. Ἰαμβρὶ] Ιαμβροι 56. Αμβρει 64, 93. Ιαβρειμ 106. Ἰαμβρὶν Alex. ποιȣ͂σι γάμον μέγαν] ∧ μεγαν 52. ποιȣ͂σι γάμον μέγαν—Χαναὰν] *faciunt nuptias filiæ* (ſcr. *fili*) *Amamnathat, unius de principibus Chanaan* Vet. Lat. ubi ſupra. ἀπὸ Ναδαβὰθ] απο Ναβαθ 19, 71. απο Ναβαδαθ 23. Compl. απο Ναβατ 55, 64, 93. απο Δανχβαθ 56. απο Ναβαιδον 62. απο Ναδαβαμ 106. μεγιςάνων μεγάλων] tr. 19, 23, 55, 56, 62, 71. Compl. Alex. ∧ μεγαλων 44, 93, 106, 243. μεγιςανων των μεγαλων 64. τῶν Χαναὰν] ∧ των 19, 23, 44, 55, 56, 62, 64, 71, 74, 106. Compl. Alex. Χαναναιαν 93. μετὰ παραπομπῆς μεγάλης] μετα πομπης μεγαλης 56, 93. ∧ 71. μεγάλῃ παραπομπῇ ἀμέτρῳ δόξῃ 8 Codices Sergii.

XXXVIII. Καὶ ἐμνήσθησαν] καὶ ἐμνήσθη Ald. Ἰωάννȣ] præmitt. τȣ αιματος 23. *ſanguinem Judæ* Vet. Lat. ubi ſupra. τȣ͂ ἀδελφȣ͂ αὐτῶν] τȣ αδελφȣ αυτȣ 23, 93. ὑπὸ τὴν σκέπην] υπο την ςεγην 23.

XXXIX. Καὶ ἦραν—αὐτῶν 1°] ∧ cum intermed. 71. καὶ ἴδον] και ειδον 44, 74. Compl. Ald. καὶ ἴδαν Alex. καὶ ἀποσκευὴ πολλὴ] και ἡ αποσκευη πολλη 23, 93. και ἡ αποσκευη αυτων πολλη 64. ὁ νυμφίος—φίλοι αὐτȣ͂] ὁ νυμφιος και οἱ φιλοι αυτȣ, και εξηλθον οἱ φιλοι αυτȣ 19. ὁ νυμφιος μετα των φιλων αυτȣ εξηλθε 44. ἐξῆλθε] ∧ 64, 93. καὶ οἱ ἀδελφοὶ αὐτȣ͂] ∧ 44, 55, 56. εἰς συνάντησιν αὐτῶν] εις συναντησιν αυτοις 19, 64, 93. καὶ μȣσικῶν] ∧ 44. ∧ και 71. καὶ ὅπλων πολλῶν] ∧ πολλων 44, 71. και οχλων πολλων 55, 62, 64.

XL. ἐπ᾽ αὐτȣ̀ς] ∧ 71. ἀπὸ τȣ͂ ἐνέδρȣ] ∧ 19. οἱ περὶ τὸν Ἰωνάθαν] ∧ 23, 52, 55, 56, 62, 71, 74, 106, 243. Compl. Vet. Lat. ubi ſupra. habet in charact. minore Alex. καὶ ἀπέκτειναν αὐτȣ̀ς] και απεκτεινον αυτȣς 93. καὶ ἔπεσον] και επεσαν 106. Alex. καὶ ἔλαβον] και ελαβεν 93. πάντα τὰ σκῦλα αὐτῶν] παντα τα σκευη αυτων III, 106. τα σκευη αυτων 52, 62. ∧ αυτων 71. ∧ παντα 93.

XLI. καὶ ἡ φωνὴ] ∧ ἡ 23, 55, 62, 74. habet ἡ in charact. min. Alex. μȣσικῶν αὐτῶν] præmitt. των 64, 93. αὐτῶν] ∧ 19.

XLII. αἵματος] præmitt. τȣ 64. ∧ 93. αιματα 106. ἀδελφȣ͂ αὐτῶν] præmitt. τȣ 64, 93. καὶ ἀπέςρεψαν] και επεςρεψαν 74. ∧ απεςρεψαν 106. εἰς τὸ ἕλος] εις το ορος III, 52, 55, 56, 62, 71, 74. Compl. εις το ελεος 93. ορος (tantum) 106. *ad ripam* Vet. Lat. ubi ſupra. Vulg.

XLIII. Καὶ ἤκȣσε—Ἰορδάνȣ] ∧ cum intermed. 56. Βακχίδης] + οτι απεςρεψεν Ιωναθαν 19. + οτι επεςρεψεν Ιωναθαν 64, 93. καὶ ἦλθε—τȣ͂ Ἰορδάνου] και ηλθεν εως των κρηπιδων τȣ Ιορδανου ὁ Βακχιδης τη ημερα των σαββατων 19, 64. (93. ſcr. κριπιδων.)

XLIV. τοῖς παρ᾽ αὐτȣ͂] τοις μετ᾽ αυτȣ 44. τοῖς ἀδελφοῖς αὐτȣ͂ Alex. Ἀναςῶμεν νῦν] αναςωμεν δη 19, 62, 64, 93. ∧ νυν 44. καὶ πολεμήσωμεν] præmitt. και πορευθωμεθα 93. ὑπὲρ τῶν—ἡμῶν 2°. in com. ſeq.] ∧ cum intermed. 71. ὑπὲρ τῶν ψυχῶν ἡμῶν] περι των ψυχων ημων 23. ∧ ημων 55. ὡς ἐχθὲς] ως χθες 44, 55, 62, 74, 106.

XLV. ἐξεναντίας ἡμῶν] ∧ ημων 23. καὶ ἐξόπισθεν ἡμῶν] ∧ 52, 106. Vet. Lat. ubi ſupra. Vulg. καὶ ἔνθεν] ∧ 71. καὶ ἕλος] bis ſcript. 74. ȣ̓κ ἔςι τόπος] præmitt. και 55, 62, 106. Alex. τȣ͂ ἐκκλῖναι] ∧ τȣ 23.

VII. καὶ Βαιθσούρων] και Βεθσουρα 64. και Βαιθουρα 93. και Βεσουρων 106. καὶ τῆς ἄκρας] + και εκυριευσεν αυτων 64. καὶ τῆς ἄκρας—ἐξ αὐτῆς] ‸ cum intermed. 71. καὶ ἐξῆρε] και εξηγε 52. τὰς ἀκαθαρσίας ἐξ αὐτῆς] τας ακαθαρσιας εξ αυτων 52, 64, 93.

VIII. τὴν γῆν αὐτῶν] την χωραν αυτων 19, 64, 93. καὶ ἡ γῆ] + δε 74, 134. Compl. καὶ ἡ γῆ &c. ad fin. com.] ‸ 71. καὶ τὰ ξύλα] και τα ξυλινα 74, 134. Ald. τῶν ϖεδίων] αυτων ϖεδιων 62.

Digitized by Google

σβύτεροι ἐν ταῖς πλατείαις ἐκάθηντο, πάντες περὶ ἀγαθῶν ἐκοινολογοῦντο, καὶ οἱ νεανίσκοι ἐν-
εδύσαντο δόξας καὶ στολὰς πολέμου. Ταῖς πόλεσιν ἐχορήγησε βρώματα, καὶ ἔταξεν αὐτὰς ἐν 10.
σκεύεσιν ὀχυρώσεως, ἕως ὅτου ὠνομάσθη τὸ ὄνομα τῆς δόξης αὐτοῦ ἕως ἄκρου τῆς γῆς. Ἐποίησε τὴν 11.
εἰρήνην ἐπὶ τῆς γῆς, καὶ εὐφράνθη Ἰσραὴλ εὐφροσύνην μεγάλην. Καὶ ἐκάθισεν ἕκαστος ὑπὸ τὴν 12.
ἄμπελον αὐτοῦ καὶ τὴν συκῆν αὐτοῦ, καὶ οὐκ ἦν ὁ ἐκφοβῶν αὐτούς. Καὶ ἐξέλιπεν ὁ πολεμῶν αὐτοὺς 13.
ἐπὶ τῆς γῆς, καὶ οἱ βασιλεῖς συνετρίβησαν ἐν ταῖς ἡμέραις ἐκείναις. Καὶ ἐστήρισε πάντας τοὺς 14.
ταπεινοὺς τοῦ λαοῦ αὐτοῦ· τὸν νόμον ἐξεζήτησε, καὶ ἐξῆρε πάντα ἄνομον καὶ πονηρόν. Τὰ ἅγια 15.
ἐδόξασε, καὶ ἐπλήθυνε τὰ σκεύη τῶν ἁγίων. Καὶ ἠκούσθη ἐν Ῥώμῃ ὅτι ἀπέθανεν Ἰωνάθαν, καὶ 16.
ἕως Σπάρτης, καὶ ἐλυπήθησαν σφόδρα. Ὡς δὲ ἤκουσαν ὅτι Σίμων ὁ ἀδελφὸς αὐτοῦ γέγονεν 17.
ἀντ᾽ αὐτοῦ ἀρχιερεὺς, καὶ ἐπικρατεῖ τῆς χώρας καὶ τῶν πόλεων τῶν ἐν αὐτῇ, Ἔγραψαν πρὸς αὐ- 18.
τὸν δέλτοις χαλκαῖς, τοῦ ἀνανεώσασθαι πρὸς αὐτὸν φιλίαν καὶ τὴν συμμαχίαν ἣν ἔστησαν πρὸς
Ἰούδαν καὶ Ἰωνάθαν τοὺς ἀδελφοὺς αὐτοῦ. Καὶ ἀνεγνώσθησαν ἐνώπιον τῆς ἐκκλησίας ἐν Ἱερουσα- 19.
λήμ. Καὶ τοῦτο τὸ ἀντίγραφον τῶν ἐπιστολῶν ὧν ἀπέστειλαν οἱ Σπαρτιᾶται· Σπαρτιατῶν ἄρχον- 20.
τες καὶ ἡ πόλις Σίμωνι ἱερεῖ μεγάλῳ, καὶ τοῖς πρεσβυτέροις, καὶ τοῖς ἱερεῦσι, καὶ τῷ λοιπῷ δή-
μῳ τῶν Ἰουδαίων ἀδελφοῖς χαίρειν. Οἱ πρεσβευταὶ οἱ ἀποσταλέντες πρὸς τὸν δῆμον ἡμῶν ἀπήγ- 21.
γειλαν ἡμῖν περὶ τῆς δόξης ὑμῶν καὶ τιμῆς, καὶ εὐφράνθημεν ἐπὶ τῇ ἐφόδῳ αὐτῶν. Καὶ ἀνεγρά- 22.
ψαμεν τὰ ὑπ᾽ αὐτῶν εἰρημένα ἐν ταῖς βουλαῖς τοῦ δήμου οὕτως· Νουμήνιος Ἀντιόχου καὶ Ἀντίπατρος
Ἰάσωνος πρεσβευταὶ Ἰουδαίων ἦλθοσαν πρὸς ἡμᾶς ἀνανεούμενοι τὴν πρὸς ἡμᾶς φιλίαν. Καὶ ἤρεσε 23.
τῷ δήμῳ ἐπιδέξασθαι τοὺς ἄνδρας ἐνδόξως, καὶ τοῦ θέσθαι τὸ ἀντίγραφον τῶν λόγων αὐτῶν ἐν
τοῖς ἀποδεδειγμένοις τοῦ δήμου βιβλίοις, τοῦ ἔχειν μνημόσυνον τὸν δῆμον τῶν Σπαρτιατῶν· τὸ δὲ
ἀντίγραφον τούτων ἐγράψαμεν Σίμωνι τῷ ἀρχιερεῖ. Μετὰ ταῦτα ἀπέστειλε Σίμων τὸν Νουμήνιον 24.
εἰς Ῥώμην ἔχοντα ἀσπίδα χρυσῆν μεγάλην ὁλκῆς μνῶν χιλίων εἰς τὸ στῆσαι πρὸς αὐτοὺς τὴν συμ-
μαχίαν. Ὡς δὲ ἤκουσεν ὁ δῆμος τῶν λόγων τούτων, εἶπον, Τίνα χάριν ἀποδώσομεν Σίμωνι καὶ 25.
τοῖς υἱοῖς αὐτοῦ; Ἐστήρισε γὰρ αὐτὸς καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ ὁ οἶκος τοῦ πατρὸς αὐτοῦ, καὶ 26.

IX. πάντες—ἐκοινολογοῦντο] ∧ cum intermed. 71. ἐκοινολογοῦντο] εκοινολογουν 106. Alex. καὶ οἱ νεανίσκοι] ∧ και 44, 71. δόξας] δοξαν 71. καὶ στολὰς πολέμου] και οὐ στολας πολεμου 19, 64, 93.

X. καὶ ἔταξεν &c. usque ad fin. com. 12.] ∧ 71. ἐν σκεύεσιν ὀχυρώσεως] εν πολεσιν οχυρωσεως 52. εν σκυλευσεσιν (sic) οχυρωσεως 93. τῆς δόξης αὐτοῦ] αυτου της δοξης 19. τῆς γῆς] ∧ της 19, 23, 62, 93, 106. habet τῆς in charact. minore Alex.

XI. Initium hujus com. deest 19. Ἐποίησε] præmitt. και 64, 93. τὴν εἰρήνην] ∧ την 23, 64, 93. εὐφροσύνην μεγάλην] ευφροσυνη μεγαλη 19.

XII. ὑπὸ τὴν ἄμπελον αὐτοῦ] υποκατω της αμπελου αυτου 19. sic, sine της, 64, 93. ∧ αυτου 44. καὶ τὴν συκῆν αὐτοῦ] και υποκατω συκης αυτου 19, 93. και υποκατω της συκης αυτου 64. ∧ την 106. ὁ ἐκφοβῶν αὐτούς] + επι της γης 19.

XIII. Καὶ ἐξέλιπεν] και ουκ ἦν 52. και εξελειπεν 93. Alex. Καὶ ἐξέλιπεν—λαοῦ αὐτοῦ in com. seq.] ∧ cum intermed. (ut videtur) 19. ὁ πολεμῶν αὐτοὺς] ∧ ὁ 23, 62, 74, 134. Compl. Ald. Alex. πολεμων 71. πολεμος 106. ἐπὶ τῆς γῆς] απο της γης 106. καὶ οἱ βασιλεῖς] και ὁ βασιλευς 93. καὶ οἱ βασιλεῖς συνετρίβησαν &c. usque ad fin. com. seq.] ∧ 71.

XIV. τοὺς ταπεινοὺς] + της γης 93. τὸν νόμον ἐξεζήτησε] ponit statim post πονηρον 19, 64, 93. καὶ ἐξῆρε] και απηρε 93.

XV. Τὰ ἅγια ἐδόξασε] præmitt. και 19, 64, 93. ∧ 71. τὰ σκεύη] + αυτης 19. τῶν ἁγίων] αυτων 106.

XVI. Καὶ ἠκούσθη] και ηκουσεν III, 44. και ἠκουσαν 19, 55, 62, 64, 71, 74, 93, 106, 134. Compl. Ald. ἐν Ῥώμῃ] præmitt. οἱ 19, 64, 93. καὶ ἕως Σπάρτης] + ηκουσθη 19, 64, 93. Ald. ∧ 71.

XVII. ἀντ᾽ αὐτοῦ ἀρχιερεὺς] αρχιερευς αντ᾽ αυτου 44. ∧ αντ᾽ αυτου 71. καὶ ἐπικρατεῖ] και επεκρατησε 19, 64, 93. και αυτος επικρατει 23. και επεκρατει 106. καὶ ἐπικρατεῖ &c. ad fin. com.] ∧ 71. καὶ τῶν πόλεων] και των πολεμων 74, 134. Ald. τῶν ἐν αὐτῇ] των εν αυταις 19, 93. και των εν αυταις 64.

XVIII. Ἔγραψαν πρὸς αὐτὸν] εγραψε προς αυτον 19. præmitt. και 93. Alex. Ἰούδαν, καὶ] ∧ 71. Ἰωνάθαν] προς Ιωναθαν 106. τοὺς ἀδελφοὺς αὐτοῦ] ∧ 71. τον αδελφον αυτου 106.

XIX. τῆς ἐκκλησίας] ∧ της 106. Alex. ἐν Ἱερουσαλήμ] præmitt. της 23. ∧ εν 106.

XX. Καὶ τοῦτο—Σπαρτιᾶται] οἱ δε Σπαρτιωται αντεγραψαν αυτω 71. οἱ Σπαρτιᾶται] οἱ Σπαρτιωται 106. ἄρχοντες] αρχοντων 93. Σίμωνι ἱερεῖ μεγάλῳ] Σιμωνι αρχιερει μεγαλω 19, 52, 55, 62, 64, 93. καὶ τοῖς ἱερεῦσι] ∧ 71. καὶ τῷ λοιπῷ δήμῳ] ∧ λοιπω 71. ἀδελφοῖς χαίρειν] ∧ 71.

XXI. Οἱ πρεσβευταὶ—τιμῆς, καὶ] ∧ cum intermed. 71. περὶ τῆς δόξης ὑμῶν] περι της ειρηνης υμων και της δοξης υμων 19, 64, 93. περι της δοξης ημων (corr. ab ead. m. υμων) 62. καὶ τιμῆς] præmitt. και της ειρηνης υμων 62. και της τιμης 64. ἐπὶ τῇ ἐφόδῳ αὐτῶν] επι τη αφιξει αυτων (19. scr. αφηξει) 64, 93. επι τοις ακουσθεισιν ημιν 71.

XXII. Καὶ ἀνεγράψαμεν] και αναγραψαμενοι III, 55, 62, 74, 106, 134. και ανεγραψε 19. ὑπ᾽ αὐτῶν εἰρημένα] ∧ 71. ἐν ταῖς βουλαῖς] εν τοις βιβλοις (sic) 93. τοῦ δήμου] ἃ ἦν 106. οὕτως] ∧ 71. καὶ Ἀντίπατρος Ἰάσωνος] Αντιπατρος Ιασονος 55. πρεσβευταὶ Ἰουδ.] πρεσβυταις Ιουδ. 93. ἦλθοσαν] ηλθον 64, 93.

XXIII. ἐπιδέξασθαι] + τας φιλιας και 19, 64, 93. ἐπιδέξασθαι &c. ad fin. com.] ∧ 71. καὶ τοῦ θέσθαι] και καταθεσθαι 19, 64, 93. ἀποδεδειγμένοις] αποδεδιπλομενοις 93. τοῦ δήμου βιβλίοις] τω δημω βιβλιοις III, 23, 44, 55, 62, 74, 93, 106, 134. Compl. Ald. τοῦ ἔχειν μνημόσυνον] του μνημοσυνην εχειν 23. του μνημοσυνον εχειν 44, 55, 62, 106, 134. Compl. Alex. του εχειν το μνημοσυνον 64, 93. τὸ δὲ ἀντίγραφον τούτων] ∧ τουτων 44. ἐγράψαμεν] εγραψα 19, 55. εγραψαν 44, 62, 64, 74, 134. Compl. Ald. Alex. τῷ ἀρχιερεῖ] ∧ 44.

XXIV. Μετὰ ταῦτα] præmitt. και 44. μετα δε ταυτα 62, 64, 71, 106. ὁλκῆς μνῶν χιλίων] ολκην μνων χιλιων III, 23, 106. ογκισμων χιλιων 52. ολκισμων 93. πρὸς αὐτοὺς] ∧ προς 93.

XXV. τῶν λόγων τούτων] τον λογον τουτον 106. εἶπον] ειπαν 55, 74, 106, 134. Compl. Alex. Τίνα χάριν] τινι χαριν 134. ἀποδώσομεν] αποδωσωμεν 93. Alex. καὶ τοῖς υἱοῖς αὐτοῦ] και τοις τεκνοις αυτου 19.

XXVI. Ἐστήρισε γὰρ αὐτὸς] εστηριξαν γαρ αυτος 19, 64. εστηριξαν γαρ αυτους 93. ἐστήριξε γὰρ αὐτὸς Ald. τοῦ πατρὸς αὐτοῦ] του πατρος αυτων 93. καὶ ἐπολέμησαν τοὺς ἐχθροὺς] και επολεμησεν τους

Digitized by Google

27. ἐπολέμησαν τοὺς ἐχθροὺς Ἰσραὴλ ἀπ' αὐτῶν, καὶ ἔστησαν αὐτῷ ἐλευθερίαν. Καὶ κατέγραψαν ἐν
δέλτοις χαλκαῖς, καὶ ἔθεντο ἐν στήλαις ἐν ὄρει Σιών· καὶ τοῦτο τὸ ἀντίγραφον τῆς γραφῆς· Ὀκτω-
καιδεκάτῃ Ἐλοὺλ, ἔτους δευτέρου καὶ ἑβδομηκοστοῦ καὶ ἑκατοστοῦ· καὶ τοῦτο τρίτον ἔτος ἐπὶ Σίμωνος
28. ἀρχιερέως· Ἐν Σαραμὲλ, ἐπὶ συναγωγῆς μεγάλης ἱερέων, καὶ λαοῦ, καὶ ἀρχόντων ἔθνους, καὶ τῶν
29. πρεσβυτέρων τῆς χώρας ἐγνώρισεν ἡμῖν, Ἐπεὶ πολλάκις ἐγενήθησαν πόλεμοι ἐν τῇ χώρᾳ· Σί-
μων δὲ ὁ υἱὸς Ματταθίου ὁ υἱὸς τῶν υἱῶν Ἰαρὶβ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἔδωκαν ἑαυτοὺς τῷ κινδύνῳ,
καὶ ἀντέστησαν τοῖς ὑπεναντίοις τοῦ ἔθνους αὐτῶν, ὅπως σταθῇ τὰ ἅγια αὐτῶν καὶ ὁ νόμος, καὶ δόξῃ
30. μεγάλῃ ἐδόξασαν τὸ ἔθνος αὐτῶν. Καὶ ἤθροισεν Ἰωνάθαν τὸ ἔθνος αὐτῶν, καὶ ἐγενήθη αὐτοῖς
31. ἀρχιερεὺς, καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ. Καὶ ἐβουλήθησαν οἱ ἐχθροὶ αὐτῶν ἐμβατεῦσαι
εἰς τὴν χώραν αὐτῶν, τοῦ ἐκτρίψαι τὴν χώραν αὐτῶν, καὶ ἐκτεῖναι χεῖρας ἐπὶ τὰ ἅγια αὐτῶν.
32. Τότε ἀνέστη Σίμων, καὶ ἐπολέμησε περὶ τοῦ ἔθνους αὐτοῦ, καὶ ἐδαπάνησε χρήματα πολλὰ τῶν ἑαυ-
33. τοῦ, καὶ ὠπλοδότησε τοὺς ἄνδρας τῆς δυνάμεως τοῦ ἔθνους αὐτοῦ, καὶ ἔδωκεν αὐτοῖς ὀψώνια, Καὶ
ὠχύρωσε τὰς πόλεις τῆς Ἰουδαίας, καὶ τὴν Βαιθσούραν τὴν ἐπὶ τῶν ὁρίων τῆς Ἰουδαίας, οὗ ἦν τὰ
34. ὅπλα τῶν πολεμίων τὸ πρότερον, καὶ ἔθετο ἐκεῖ φρουρὰν ἄνδρας Ἰουδαίους. Καὶ Ἰόππην ὠχύρωσε
τὴν ἐπὶ τῆς θαλάσσης, καὶ τὴν Γάζαρα τὴν ἐπὶ τῶν ὁρίων Ἀζώτου, ἐν ᾗ ᾤκουν οἱ πολέμιοι τὸ
πρότερον ἐκεῖ, καὶ κατῴκισεν ἐκεῖ Ἰουδαίους, καὶ ὅσα ἐπιτήδεια ἦν πρὸς τὴν τούτων ἐπανόρθωσιν
35. ἔθετο ἐν αὐτοῖς. Καὶ εἶδεν ὁ λαὸς τὴν πρᾶξιν τοῦ Σίμωνος, καὶ τὴν δόξαν ἣν ἐβουλεύσατο ποι-
ῆσαι τῷ ἔθνει αὐτοῦ, καὶ ἔθεντο αὐτὸν ἡγούμενον αὐτῶν καὶ ἀρχιερέα, διὰ τὸ αὐτὸν πεποιηκέναι
πάντα ταῦτα, καὶ τὴν δικαιοσύνην, καὶ τὴν πίστιν ἣν συνετήρησε τῷ ἔθνει αὐτοῦ, καὶ ἐζήτησε
36. παντὶ τρόπῳ ὑψῶσαι τὸν λαὸν αὐτοῦ. Καὶ ἐν ταῖς ἡμέραις αὐτοῦ εὐωδώθη ἐν ταῖς χερσὶν αὐτοῦ,
τοῦ ἐξαρθῆναι τὰ ἔθνη ἐκ τῆς χώρας αὐτῶν, καὶ τοὺς ἐν τῇ πόλει Δαυὶδ τοὺς ἐν Ἱερουσαλὴμ, οἳ
ἐποίησαν ἑαυτοῖς ἄκραν, ἐξ ἧς ἐξεπορεύοντο καὶ ἐμίαινον κύκλῳ τῶν ἁγίων, καὶ ἐποίουν πληγὴν
37. μεγάλην ἐν τῇ ἁγνείᾳ. Καὶ κατῴκισεν ἐν αὐτῇ ἄνδρας Ἰουδαίους, καὶ ὠχύρωσεν αὐτὴν πρὸς ἀσφά-

εχθρους 23, 106. τοὺς ἐχθροὺς] τους υιους 64. καὶ ἔστησαν αὐτῷ] και εκληρονομησαν και εστησαν τω Σιμωνι 19, 64, 93.

XXVII. Καὶ κατέγραψαν] και κατεγραψεν III. ∧ και 62. καὶ ἔθεντο ἐν στήλαις] και εθεντο εν στηλη 62, 106. Alex. ἐν ὄρει Σιών] εν ορεσι Σιων 23. Ald. ∧ εν 55. καὶ τοῦτο 1°. &c. ad fin. com. seq.] ∧ 71. καὶ τοῦτο τὸ ἀντίγ.] ∧ το 55. τῆς γραφῆς] της επιστολης της γραφεισης 64. ∧ γραφης 106. Ὀκτωκαιδεκάτῃ Ἐλοὺλ] οκτωκαιδεκατης Ελουλ 55. οκτωκαιδεκατης Λουα 106. ἔτους—ἑκατοστοῦ] ετους εκατοστου εβδομηκοστου δευτερου 44. ἔτους δευτέρου καὶ ἑβδομ.] ∧ και 55, 62, 106. habet καὶ in charact. min. Alex. καὶ ἑκατοστοῦ] ∧ και 55. ταὶ τοῦτο 2°] ∧ και 64, 93. καὶ τοῦτο τρίτον ἔτος] και τουτο το τριτον ετος 55. ponit τριτον ετος post Σιμωνος 62, 106. ἐπὶ Σίμ. ἀρχιερέως] + μεγαλου 19, 23, 55, 64, 93. ἀρχιερέως] præmitt. του 62, 106. Alex.

XXVIII. Ἐν Σαραμὲλ] εν Ασαραμελ 19, 23, 64, 93. εν Σαραμηλ 44. εν Σαραμεν 55. μεγάλης] μεγαλων 134. ἱερέων] αρχιερεων 23. præmitt. τῶν Alex. ἔθνους] præmitt. και 106. ἐγνώρισεν ἡμῖν] εγνωρισαμεν υμιν 19, 64, 93. Ald.

XXIX. Ἐπεὶ—χώρᾳ] cum intermed. 71. ἐγενήθησαν πολέμοι] εγενοντο πολεμοι 19, 64, 93. ὁ υἱὸς Ματταθίου] ὁ υιος Ματθιου 44. ∧ ὁ 64, 74, 93. ∧ υἱὸς Compl. ὁ υἱὸς 2°] υιος υιων 23. ∧ 44, 71. ∧ ὁ 64, 93. τῶν υἱῶν Ἰαρὶβ] των υιων Ιωαριβ III. ιερευς των υιων Ιωαρειβ 23. ∧ 44, 71. των υιων Ιωαρειμ 62. των υιων Ιωαρειβ 64. των υιων Ιωιαρειβ 93. των υιων Ιαρειβ 106. + δύο Alex. σταθῇ] στη 64, 93. τὰ ἅγια—νόμος] ὁ νομος αυτων και τα αγια αυτων 19, 64. ὁ νομος αυτων και τα αγια αυτων 93.

XXX. Καὶ ἤθροισεν—ἔθνος αὐτῶν] ∧ cum intermed. 71, 134. Καὶ ἤθροισεν Ἰωνάθαν] ∧ 52. και ηθροισεν Ιωναθας 106. τὸ ἔθνος αὐτῶν] το εθνος αυτου 23. ∧ 52. καὶ ἐγενήθη] και εγενη III. και εγενετο 19, 64, 93. αὐτοῖς ἀρχιερεὺς] αυτων αρχιερευς 23.

XXXI. Καὶ ἐβουλήθησαν] και εβουλευσαντο 55. και εβουλευθησαν 62. τοῦ ἐκτρίψαι] ∧ 23, 106. και εκτριψαι 44. ∧ εκτριψαι 71. τὴν χώραν αὐτῶν 2°] αυτην αυτων 19. ∧ 23, 71, 106. αυτην 52, 64, 93. præmitt. εἰς inter uncos Alex. καὶ ἐκτεῖναι χεῖρας] και εκτειναι τας χειρας 23, 55, 62, 106. Alex.

XXXII. Τότε ἀνέστη Σίμων] τοτε αντεστη Σιμων 23. καὶ ἐπολέμησε] και επολεμησαν 93. τοῦ ἔθνους 1°—τοῦ ἔθνους 2°] ∧ alterutr. cum intermed. 106. καὶ ὠπλοδότ.] και ἀπλοδοτ. 71. καὶ ὠπλοδότησε τοὺς ἄνδρας] και επλουτοδοτησε τοις ανδρασιν 19. και επλουτοδοτησε τους ανδρας 62. και ωπλοδοτησε τοις ανδρασι 64, 93. τοῦ ἔθνους αὐτοῦ] ∧ του εθνους 44, 52.

XXXIII. καὶ τὴν Βαιθσούραν] και την Βεθσουρα 64. καὶ τὴν Βεθσούραν Ald. Alex. τῶν πολεμίων] των πολεων 64. ἄνδρας Ἰουδαίους] ανδρας Ιουδαιας, και εν τη Βαιθσουρα εθετο φρουρους ανδρας δυναμεως 44. Ἰουδαίους] primo Ιουδαιας 106.

XXXIV. Καὶ Ἰόππην—Ἰουδαίους] ∧ cum intermed. 71, 106. καὶ τὴν Γάζαρα] και την Γαζαραν 44. και την Γαζηρα 55, 64. ἐν ᾗ ᾤκουν οἱ πολ.] εν ᾗ ωκουσαν οἱ πολ. 44, 55, 62, 74, 134. Compl. Alex. καὶ κατῴκισεν ἐκεῖ] ∧ εκει 44. και κατωκησεν εκει 74. καὶ ὅσα ἐπιτήδεια ἦν] και οσα ἦν επιτηδεια 19; 64, 93. ∧ ἦν 106. habet ἦν in charact. minore Alex. πρὸς τὴν τούτων] προς τη τουτων III, 23, 62, 64, 71, 74, 93, 106, 134. ἐπανόρθωσιν] επανορθωσει III, 23, 62, 64, 71, 74, 93, 106, 134. ἔθετο ἐν αὐτοῖς] εθετο εν αυταις 23.

XXXV. τὴν πρᾶξιν τοῦ Σίμωνος] την πιστιν του Σιμωνος III, 19, 52, 62, 74, 106, 134. Compl. Ald. την πιστιν και πραξιν του Σιμωνος 23. την πιστιν Σιμωνος 44, (55. scr. πιστον) 71. ἣν ἐβουλεύσατο ποιῆσαι] ην εποιησατο 71. καὶ ἔθεντο αὐτὸν] ∧ αυτον 71. ἡγούμενον αὐτῶν] tr. 44. καὶ ἀρχιερέα &c. ad fin. com.] ∧ 71. διὰ τὸ αὐτὸν πεποιηκέναι] δια το πεποιηκεναι αυτον 62, 106. Alex. πάντα ταῦτα] ∧ παντα 19. tr. 62, 106. (134. corr.) Alex. ἣν συνετήρησε] ∧ ἣν 106. καὶ ἐζήτησε] και εξεζητησε 19, 64, 93, 106. Alex. και εξεζητη (sic) 62. ὑψῶσαι] υψωθηναι 44. λαὸν αὐτοῦ] λαὸν αὐτόν. Ald.

XXXVI. ἐν ταῖς χερσὶν αὐτοῦ] + και ωχυρωσε την Ιερουσαλημ 71. præmitt. και 106. τοῦ ἐξαρθῆναι] ∧ του 62, 64, 93. τοῦ ἐξαρθῆναι &c. ad fin. com.] ∧ 71. τοὺς ἐν Ἱερουσαλὴμ] + και αυτους εξαρθηναι 19, 64, 93. ∧ τους 106. οἱ ἐποίησαν] ∧ οἱ 62, 106. ἄκραν] ακρας III. ἐξ ἧς ἐξεπορεύοντο] εξ ἧς εξεπορευετο 19, 55. (62. ον superscript. ab eadem m.) καὶ ἐμίαινον κύκλῳ] και εμιαινοντο κυκλω 55. καὶ ἐποίουν πληγὴν μεγάλην] και εποιησαν πληγην μεγαλην 62, 106. καὶ ἐποίουσαν πληγὴν μεγάλην Alex. ἐν τῇ ἁγνείᾳ] εν τη αγνια 23. εν τη αμνια 106.

XXXVII. Καὶ κατῴκισεν] και κατωκησεν III, 74, 106. ἐν αὐτῇ] + Σιμων 64, 93. Ἱερουσαλήμ] præmitt. της 23.





Digitized by Google

λειαν τῆς χώρας καὶ τῆς πόλεως, καὶ ὕψωσε τὰ τείχη Ἱερουσαλήμ. Καὶ ὁ βασιλεὺς Δημήτριος 38.
ἔστησεν αὐτῷ τὴν ἀρχιερωσύνην κατὰ ταῦτα, Καὶ ἐποίησεν αὐτὸν τῶν φίλων αὐτοῦ, καὶ ἐδόξασεν 39.
αὐτὸν δόξῃ μεγάλῃ. Ἤκουσε γὰρ ὅτι προσηγόρευνται οἱ Ἰουδαῖοι ὑπὸ Ῥωμαίων φίλοι καὶ σύμ- 40.
μαχοι καὶ ἀδελφοὶ, καὶ ὅτι ἀπήντησαν τοῖς πρεσβευταῖς Σίμωνος ἐνδόξως· Καὶ ὅτι εὐδόκησαν οἱ 41.
Ἰουδαῖοι, καὶ οἱ ἱερεῖς, τοῦ εἶναι Σίμωνα ἡγούμενον, καὶ ἀρχιερέα εἰς τὸν αἰῶνα, ἕως τοῦ ἀναστῆναι
προφήτην πιστόν· Καὶ τοῦ εἶναι ἐπ' αὐτῶν στρατηγὸν, καὶ ὅπως μέλοι αὐτῷ περὶ τῶν ἁγίων καθ- 42.
ιστάναι αὐτοὺς ἐπὶ τῶν ἔργων αὐτῶν, καὶ ἐπὶ τῆς χώρας, καὶ ἐπὶ τῶν ὅπλων, καὶ ἐπὶ τῶν ὀχυρω-
μάτων· Καὶ ὅπως μέλοι αὐτῷ περὶ τῶν ἁγίων, καὶ ὅπως ἀκούηται ὑπὸ πάντων, καὶ ὅπως γρά- 43.
φωνται ἐπὶ τῷ ὀνόματι αὐτοῦ πᾶσαι συγγραφαὶ ἐν τῇ χώρᾳ, καὶ ὅπως περιβάληται πορφύραν καὶ
χρυσοφορῇ. Καὶ οὐκ ἐξέσται οὐδενὶ τοῦ λαοῦ καὶ τῶν ἱερέων ἀθετῆσαί τι τούτων, καὶ ἀντειπεῖν τοῖς 44.
ὑπ' αὐτοῦ ῥηθησομένοις, καὶ ἐπισυστρέψαι συστροφὴν ἐν τῇ χώρᾳ ἄνευ αὐτοῦ, καὶ περιβάλλεσθαι
πορφύραν, καὶ ἐμπορπᾶσθαι πόρπην χρυσῆν. Ὃς δ' ἂν παρὰ ταῦτα ποιήσῃ ἢ ἀθετήσῃ τι τού- 45.
των, ἔνοχος ἔσται. Καὶ εὐδόκησε πᾶς ὁ λαὸς θέσθαι Σίμωνι, καὶ ποιῆσαι κατὰ τοὺς λόγους τού- 46.
τους. Καὶ ἐπεδέξατο Σίμων, καὶ εὐδόκησεν ἀρχιερατεύειν, καὶ εἶναι στρατηγὸς, καὶ ἐθνάρχης τῶν 47.
Ἰουδαίων, καὶ ἱερέων, καὶ τοῦ προστατῆσαι πάντων. Καὶ τὴν γραφὴν ταύτην εἶπον θέσθαι ἐν δέλ- 48.
τοις χαλκαῖς, καὶ στῆσαι αὐτὰς ἐν περιβόλῳ τῶν ἁγίων ἐν τόπῳ ἐπισήμῳ, Τὰ δὲ ἀντίγραφα αὐ- 49.
τῶν θέσθαι ἐν τῷ γαζοφυλακίῳ, ὅπως ἔχῃ Σίμων, καὶ οἱ υἱοὶ αὐτοῦ.

ΚΕΦ. XV.

ΚΑΙ ἀπέστειλεν ὁ Ἀντίοχος υἱὸς Δημητρίου τοῦ βασιλέως ἐπιστολὰς ἀπὸ τῶν νήσων τῆς θαλάσ- 1.
σης Σίμωνι ἱερεῖ καὶ ἐθνάρχῃ τῶν Ἰουδαίων, καὶ παντὶ τῷ ἔθνει. Καὶ ἦσαν περιέχουσαι τὸν τρό- 2.
πον τοῦτον· Βασιλεὺς Ἀντίοχος Σίμωνι ἱερεῖ μεγάλῳ, καὶ ἐθνάρχῃ, καὶ ἔθνει Ἰουδαίων χαίρειν. 3.
Ἐπειδὴ ἄνδρες λοιμοὶ κατεκράτησαν τῆς βασιλείας τῶν πατέρων ἡμῶν, βούλομαι δὲ ἀντιποιήσα-
σθαι τῆς βασιλείας, ὅπως ἀποκαταστήσω αὐτὴν ὡς ἦν πρότερον, ἐξενολόγησα δὲ πλῆθος δυνάμεων,
καὶ κατεσκεύασα πλοῖα πολεμικὰ, Βούλομαι δὲ ἐκβῆναι κατὰ τὴν χώραν, ὅπως μετέλθω τοὺς 4.

XXXVIII. ἔστησεν αὐτῷ] + τω Σιμωνι 64, 93. κατὰ ταῦτα] ^ 71. κατα τα αυτα 106. κατα παντα 134. Compl.

XXXIX. Καὶ ἐποίησεν αὐτὸν] και εποιησεν αυτω 19. τῶν φίλων αὐτοῦ] præmitt. ενα 19. των φιλων εαυτου 55. εκαστον φιλον αυτου 62. καὶ ἐδόξασεν &c. ad fin. com.] ^ 71. δόξῃ μεγάλῃ] præmitt. εν 64.

XL. Ἤκουσε γὰρ] ηκουσθη γαρ III, 19, 62, 64, 71, 74, 93, 106, 134. Compl. Ald. και ηκουσθη 44. ὅτι προσηγόρευνται] οτι προσαγορευονται III, 44, 55, 62, 71, 74, 93, 106, 134. Compl. Ald. οἱ Ἰουδαῖοι] ^ οἱ 62, 106. Alex. ὑπὸ Ῥωμαίων] ἀπὸ Ῥωμαίων Compl. καὶ ἀδελφοὶ] ^ 71, 74, 134. Compl. Ald. καὶ οἱ ἀδελφοὶ Alex. καὶ ὅτι ἀπήντησαν] και οτι απηντησεν 23. ἀπήντησαν] præmitt. καὶ Ald. τοῖς πρεσβευταῖς] τοις πρεσβυτεροις 23, 55.

XLI. Καὶ ὅτι—οἱ ἱερεῖς] και οτι Ιουδαιοι και οἱ ιερεις ευδοκησαν 19. Καὶ ὅτι εὐδόκησαν] ^ οτι 71. εὐδόκησαν] ponit statim post ιερεις 23, 55, 62, 64, 93, 106. Alex. τοῦ εἶναι] + αυτων 55, 62, 74, 106, 134. Compl. Alex. ^ 93. εἰς τὸν &c. ad fin. com.] ^ 71.

XLII. ἐπ' αὐτῶν] επ' αυτον (corr. ab ead. m. αυτων) 93. ἐπ' αὐτῆς Ald. καὶ ὅπως μέλοι] και οπως μελη III, 55, 93, 134. Compl. και οπως μελλη 23, 62. (74, 106. sic infra.) και οπως μελει 71. αὐτῷ περὶ τῶν ἁγίων] αυτων περι των αγιων 55. καθιστάναι αὐτοὺς] καθισταναι δι' αυτου III, 23, 52, 55, 62, 71, 74, 106, 134. Compl. καθιστανειν αυτους 19, 93. ἐπὶ τῶν ἔργων αὐτῶν] επι των εργων αυτου 52, 93. επι των αγιων αυτων 106. αὐτῶν, καὶ—ὅπλων] ^ cum intermed. 71. καὶ ἐπὶ τῶν ὅπλων] ^ 93. καὶ ἐπὶ τῶν ὀχυρωμάτων] ^ επι 71.

XLIII. Καὶ ὅπως μέλοι] και οπως μελη III, 23, 93, 134. Compl. Καὶ ὅπως μέλοι—χώρᾳ] ^ cum intermed. 71. καὶ ὅπως ἀκούηται] και ινα ακουηται 19, 64, 93. ὑπὸ πάντων] περι παντων 62. καὶ ὅπως γράφωνται] και οπως γραφονται 93. πᾶσαι συγγραφαὶ] πασαι αἱ συγγραφαι 55, 64, 93. ἐν τῇ χώρᾳ] præmitt. αἱ 55. ὅπως περιβάληται πορφ.] ινα περιβαληται πορφ. 19, 64, 93. οπως περιβαλληται πορφ. 106. Compl. Alex. καὶ χρυσοφορῇ] και χρυσοφορει 106.

XLIV. Καὶ οὐκ ἐξέσται] και ουκ εξον εσται 55. και ουκ εξεστιν 71, 93. Alex. ῥηθησομένοις] ρημενοις 93. καὶ περιβάλλεσθαι] + αυτον 93. καὶ περιβάλλεσθαι πορφύραν] και εμπεριβαλεσθαι αυτον πορφυραν 19. και περιβαλεσθαι πορφυραν 55, 74, 106, 134. Ald. και περιβαλεσθαι αυτον πορφυραν 64.

XLV. Comma integrum deest 71. παρὰ ταῦτα ποιήσῃ] παρ' αυτα 19. παρ' αυτα ποιηση 55. παρα ταυτα ποιησει 93, 106. ἢ ἀθετήσῃ] και αθετηση 74. ἢ αθετησει 93, 106.

XLVI. θέσθαι] + ταυτα 64, 93. καὶ ποιῆσαι] ^ και 44, 62, 74, 106, 134. Compl. Ald. habet in charact. minore Alex. καὶ ποιῆσαι—στρατηγὸς in com. seq.] ^ cum intermed. 71. τοὺς λόγους τούτους] τους λογους τουτων 106.

XLVII. Καὶ ἐπεδέξατο] και επελεξατο 93. ἀρχιερατεύειν] αρχιερατευσαι 62, 106. Alex. καὶ ἐθνάρχης] και εθναρχῃ 71. καὶ ἱερέων] ^ 106. καὶ ἱερέων &c. ad fin. cap.] ^ 71. καὶ τοῦ προστατῆσαι] και του πρωτοστατησαι 64. προστατῆσαι πάντων] προστάτης (sic) ἁπάντων 106.

XLVIII. γραφὴν ταύτην] γραφην παντων 93. εἶπον] ειπαν 55, 74, 134. Compl. Alex. εἰς πᾶν (sic) 106. ἐν δέλτοις χαλκαῖς] εν δελτοις χαλκοις 93. καὶ στῆσαι αὐτὰς] και θησαι αυτας III. ἐν περιβόλῳ] εν τω περιβολω 55. ἐν τόπῳ ἐπισήμῳ] εν τοπω πιστω III.

XLIX. ὅπως ἔχῃ] οπως σχη 93. καὶ οἱ υἱοὶ αὐτοῦ] και ὁ υιος αυτου 19. ^ οἱ 74.

I. ὁ Ἀντίοχος υἱὸς] ^ ὁ 44, 62, 64, 74, 93, 106, 134. Compl. Alex. Αντιοχος 55. Σίμωνι ἱερεῖ] Σιμωνι αρχιερει μεγαλω 55. Σιμωνι αρχιερει (sic infra) 64. καὶ παντὶ τῷ ἔθνει] + Ιουδαιων 71.

II. Καὶ ἦσαν—τοῦτον] ^ cum intermed. 71. τὸν τρόπον τοῦτον] τον τυπον τουτον 106. Σίμωνι ἱερεῖ μεγάλῳ] Σιμωνι αρχιερει μεγαλω 19, 55. ^ μεγαλῳ 71. καὶ ἐθνάρχῃ] ^ 52, 62. καὶ ἔθνει Ἰουδαίων] ^ και εθνει 52, 62, 71. ^ και 55.

III. Ἐπειδὴ ἄνδρες] επει τινες 19, 23, 52, 55, 62, (93. scr. επι) 106. επειδη τινες 64. κατεκράτησαν] εκρατησαν 19, 64, 93. præmitt. και 62. τῶν πατέρων ἡμῶν] των πατερων μου 55. βούλομαι δὲ] βουλευομαι δε 106. Alex. ἀποκαταστήσω αὐτὴν] ^ αυτην 106. ὡς ἦν πρότερον] ως ἦν το προτερον 23, 62, 64, 93, 106. Alex. ωσει το προτερον 52. πρότερον—πλοῖα] ^ cum intermed. 71. πλῆθος δυνάμεων] πληθη δυναμεως 64. πληθος δυναμεως 93.

IV. Βούλομαι δὲ] και βουλομαι 44. ἐκβῆναι] ἐκβῆσαι Compl.

Digitized by Google

ΚΕΦ. XV.

5. κατεφθαρκότας τὴν χώραν ἡμῶν, καὶ τὰς ἠρημωκότας πόλεις πολλὰς ἐν τῇ βασιλείᾳ· Νῦν οὖν
ἵστημί σοι πάντα τὰ ἀφαιρέματα ἃ ἀφῆκάν σοι οἱ πρὸ ἐμοῦ βασιλεῖς, καὶ ὅσα ἄλλα δόματα ἀφ-
6. 7. ῆκάν σοι. Καὶ ἐπέτρεψά σοι ποιῆσαι κόμμα ἴδιον νόμισμα τῇ χώρᾳ σου, Ἱερουσαλὴμ δὲ καὶ τὰ
ἅγια εἶναι ἐλεύθερα· καὶ πάντα τὰ ὅπλα ὅσα κατεσκεύασας, καὶ τὰ ὀχυρώματα ἃ ᾠκοδόμησας,
8. ὧν κρατεῖς, μενέτω σοι. Καὶ πᾶν ὀφείλημα βασιλικὸν, καὶ τὰ ἐσόμενα βασιλικὰ, ἀπὸ τοῦ νῦν καὶ
9. εἰς τὸν ἅπαντα χρόνον ἀφιέσθω σοι· Ὡς δ' ἂν κρατήσωμεν τῆς βασιλείας ἡμῶν, δοξάσομέν σε,
καὶ τὸ ἔθνος σου, καὶ τὸ ἱερὸν δόξῃ μεγάλῃ, ὥστε φανερὰν γενέσθαι τὴν δόξαν ὑμῶν ἐν πάσῃ τῇ
10. γῇ. Ἔτους τετάρτου καὶ ἑβδομηκοστοῦ καὶ ἑκατοστοῦ ἐξῆλθεν Ἀντίοχος εἰς τὴν γῆν πατέρων αὐτοῦ,
καὶ συνῆλθον πρὸς αὐτὸν πᾶσαι αἱ δυνάμεις, ὥστε ὀλίγους εἶναι τοὺς καταλειφθέντας σὺν Τρύ-
11. φωνι. Καὶ ἐδίωξεν αὐτὸν Ἀντίοχος ὁ βασιλεὺς, καὶ ἦλθε φεύγων εἰς Δωρᾶ τὴν ἐπὶ τῆς θαλάσ-
12. 13. σης. Εἶδε γὰρ ὅτι συνῆκται ἐπ' αὐτὸν τὰ κακὰ, καὶ ἀφῆκαν αὐτὸν αἱ δυνάμεις. Καὶ παρενέβα-
λεν Ἀντίοχος ἐπὶ Δωρᾶ, καὶ σὺν αὐτῷ δώδεκα μυριάδες ἀνδρῶν πολεμιστῶν, καὶ ὀκτακισχιλία
14. ἵππος. Καὶ ἐκύκλωσε τὴν πόλιν, καὶ τὰ πλοῖα ἀπὸ θαλάσσης συνῆψαν, καὶ ἔθλιβε τὴν πόλιν
15. ἀπὸ τῆς γῆς, καὶ τῆς θαλάσσης, καὶ οὐκ εἴασεν οὐδένα ἐκπορεύεσθαι, καὶ εἰσπορεύεσθαι. Καὶ
ἦλθε Νουμήνιος, καὶ οἱ παρ' αὐτοῦ, ἐκ Ῥώμης, ἔχοντες ἐπιστολὰς τοῖς βασιλεῦσι, καὶ ταῖς χώ-
16. 17. ραις, ἐν αἷς ἐγέγραπτο τάδε· Λεύκιος ὕπατος Ῥωμαίων Πτολεμαίῳ βασιλεῖ χαίρειν. Οἱ πρε-
σβευταὶ τῶν Ἰουδαίων ἦλθον πρὸς ἡμᾶς φίλοι ἡμῶν, καὶ σύμμαχοι, ἀνανεούμενοι τὴν ἐξ ἀρχῆς φι-
18. λίαν, καὶ συμμαχίαν, ἀπεσταλμένοι ἀπὸ Σίμωνος τοῦ ἀρχιερέως, καὶ τοῦ δήμου τῶν Ἰουδαίων. Ἤν-
19. εγκαν δὲ ἀσπίδα χρυσῆν ἀπὸ μνῶν χιλίων. Ἤρεσεν οὖν ἡμῖν γράψαι τοῖς βασιλεῦσι, καὶ ταῖς
χώραις, ὅπως μὴ ἐκζητήσωσιν αὐτοῖς κακὰ, καὶ μὴ πολεμήσωσιν αὐτοὺς, καὶ τὰς πόλεις αὐτῶν,
20. καὶ τὴν χώραν αὐτῶν, καὶ ἵνα μὴ συμμαχήσωσι τοῖς πολεμοῦσιν αὐτούς. Ἔδοξε δὲ ἡμῖν δέξασθαι

κατὰ τὴν χώραν] ∧ κατα 19. ἠρημωκότας] ειρηκοτας 93. ηρημηκοτας 106. ἐν τῇ βασιλείᾳ] + μου 23.

V. Νῦν οὖν ἵστημί σοι] ∧ ουν 44, 71, 74, 134, 243. νυν ουν επιστημι σοι 62, 106. πάντα τὰ ἀφαιρέματα] παντα τα αφεματα III, 23. + σου 52, 62. ἃ ἀφῆκάν σοι] ἃ αφηρικαν σοι 93. οἱ πρὸ ἐμοῦ &c. ad fin. com.] ∧ 62. καὶ ὅσα &c. ad fin. com. seq.] ∧ 71. καὶ ὅσα ἄλλα δόματα] και οσα αλλα αφαιρεματα III. και οσα αλλα αφεματα 44, 52, 74, 134, 243. Compl. και οσα αλλα αφεματος 106. ἀφῆκάν σοι 2°] ∧ σοι 93.

VI. Καὶ ἐπέτρεψά σοι] και επεστρεψαν σοι 44, 62, 243. και απεστρεψαν σοι 74. και επετρεψαν σοι 106, 134. Compl. habet in char. min. Alex. κόμμα ἴδιον νόμισμα] ∧ νομισμα 19. νομισμα ιδιον 64, 93. τῇ χώρᾳ σου] της χωρας σου 44, 106.

VII. καὶ πάντα τὰ ὅπλα] ∧ παντα 44. καὶ πάντα τὰ ὅπλα ὅσα κατεσκεύασας] ∧ 71. ὅσα κατεσκεύασας] οσα κατεσκευασες III. οσα κατασκευασεις 19. οσα εποιησας 55. οσα κατεσκευακας 74, 134, 243. Compl. ἃ ᾠκοδόμησας, ὧν κρατεῖς] ∧ 71. ὧν κρατεῖς] ∧ 44.

VIII. ὀφείλημα] οφλημα 64, 93. καὶ τὰ ἐσόμενα &c. ad fin. com.] ∧ 71. καὶ εἰς τὸν] ∧ και 106. ἀφιέσθω σοι] αφεισθω σοι 23, 44, 74, 134, 243. Compl.

IX. Ὡς δ' ἂν κρατήσωμεν] ως δ' αν καταστησομεν 19, 71, 93. ωσανει καταστησομεν 52. ως δ' αν καταστησωμεν 62, 64, 74, 134, 243. Compl. Ald. Alex. ως δ' αν η καταστησομεν 106. τῆς βασιλείας ἡμῶν] την βασιλειαν ημων 19, 44, 62, 64, 71, 74, 93, 106, 134, 243. Compl. Ald. Alex. δοξάσομέν σε] δοξασωμεν σε 44. καὶ τὸ ἔθνος —ἱερὸν] και το ιερον και το εθνος σου 19, 64, 93. δόξῃ μεγάλῃ] ημων 55. μεγάλῃ] μεγαλω 93. ὥστε φανερὰν] ωστε φανερον 106. τὴν δόξαν ὑμῶν] την δοξαν ημων 62, 106.

X. Ἔτους—ἑκατοστοῦ] ετους εκατοστου εβδομηκοστου τεταρτου 44. καὶ ἑβδομηκοστοῦ] ∧ και 106. ἐξῆλθεν Ἀντίοχος] εισηλθεν Αντιοχος 55. πατέρων αὐτοῦ] ∧ πατερων 19. præmitt. των 23, 44, 62, 64, 71, 74, 93, 106, 134. Compl. Alex. ὥστε—καταλειφθέντας] ωστε καλειφθηναι ολιγους 55. ὥστε ὀλίγους εἶναι] ∧ ειναι 71. ωστε ολιγοστους ειναι 106. τοὺς καταλειφθέντας] ∧ 23, 44, 52, 62, 71, 74, 106, 134, 243. Compl. habet in charact. minore Alex.

XI. ὁ βασιλεὺς] ∧ 44. καὶ ἦλθε] + Τρυφων 64, 93. φεύγων εἰς Δωρᾶ] εις Δωρα φευγων III, 23, 44, 62, 71, 74, (106. scr. φυγων) 134, 243. Compl. ponit φευγων post θαλασσης ad fin. com. 55. φευγων εις Αδωρα 93. τὴν ἐπὶ τῆς θαλάσσης] ∧ της 23. ∧ την 44, 71, 74, 134, 243. Compl. την επι θαλασσαν 55. της επι της θαλασσης 106. τὴν ἐπὶ τὴν θάλασσαν Alex.

XII. Εἶδε γὰρ] ηδει γαρ 23. Alex. ειδη γαρ 55. ηδε γαρ 62. ὅτι συνῆκται] οτι επισυνηκται 19, 62, 71, 74, 93, 134, 243. Compl. Alex. οτι επισυνηχθη 55. τὰ κακὰ] præmitt. παντα 19, 64, 93. ∧ τα 44, 55, 106. Alex. αἱ δυνάμεις] præmitt. πασαι 19.

XIII. ἐπὶ Δωρᾶ] επι χωρα 55. δώδεκα μυριάδες] δωδεκα χιλιαδες 23, 52. καὶ ὀκτακισχιλία] και οκτακισχιλιαι 93.

XIV. Καὶ ἐκύκλωσε] και εκυκλωσαν 64. ἀπὸ θαλάσσης συνῆψαν] απο θαλασσ. συνηψε 19, 44, 55, 74, 93, 134. Compl. απο της θαλασσης συνηψαν 106. καὶ ἔθλιβε τὴν πόλιν] και ελαβε την πολιν 19. και συνεθλιβε την πολιν 62, 106. Alex. ἀπὸ τῆς—θαλάσσης] απο της θαλασσης και απο της γης 19. ἀπὸ τῆς γῆς] ∧ της 55, 71. καὶ τῆς θαλάσσης] και απο της θαλασσης 23. Alex. ∧ της 55, 71. οὐδένα ἐκπορεύεσθαι] ουδενα πορευεσθαι 55. καὶ εἰσπορεύεσθαι] ουδε εισπορευεσθαι 23. ∧ 106.

XV. Καὶ ἦλθε] και εξηλθε 64. καὶ οἱ παρ' αὐτοῦ] και οἱ μετ' αυτου 55. ἐν αἷς ἐγέγραπτο τάδε] εν αις εγεγραπτο ταυτα 55.

XVI. Λεύκιος ὕπατος] Λουκιος υπατος 19, 64, 93. Ald.

XVII. Οἱ πρεσβευταὶ τῶν Ἰουδ.] οἱ πρεσβυται των Ιουδ. 23, 52. οἱ πρεσβυτεροι των Ιουδ. 55. ἦλθον πρὸς ἡμᾶς] ηλθοσαν προς ημας 55. ηλθον προς υμας 106. ἦλθαν πρὸς ἡμᾶς Alex. φίλ. ἡμῶν καὶ σύμμαχ.] φιλ. και συμμαχ. ημων 55. ∧ και συμμαχ. 71. ἀπεσταλμένοι] εξαπεσταλμενοι 55. ἀπὸ Σίμωνος τοῦ ἀρχιερ.] υπο Σιμωνος του αρχιερ. 19, 55, 62, 64, 106. ∧ του 44. υπο Σιμωνι τω αρχιερει 93. καὶ τοῦ δήμου τῶν Ἰουδ.] ∧ 71.

XVIII. Ἤνεγκαν δὲ] ηνεγκα δε 71. ἤνεγκαν ἡμῖν 5 Codices Sergii. ἀσπίδα χρυσῆν] tr. 55. ἀπὸ μνῶν χιλίων] απο ταλαντων πεντακισχιλιων 55. χιλίων] πεντακισχιλιων 44, 62, 71, 74, 106, 134, 243. Compl. Alex.

XIX. ὅπως μὴ ἐκζητήσωσιν] οπως μη εκζητωσιν 64, 93. αὐτοῖς κακὰ] ∧ 55. καὶ μὴ πολεμήσωσιν αὐτοὺς] και μη πολεμουσιν αυτους 19. ∧ και μη πολεμησωσιν 55. præmitt. και μη πολεμησωσιν αυτοις κακα 62. μηδε πολεμωσιν αυτους 93. καὶ τὰς πόλεις &c. ad fin. com. seq.] ∧ 71. καὶ τὰς πόλεις αὐτῶν] και τας πολεις αυτου 93. καὶ τὴν χώραν αὐτῶν] και τας χωρας αυτων III, 62, 93, 106. ∧ 52. καὶ ἵνα μὴ συμμαχήσωσι] και ινα μη συμμαχωσιν III, 19, 62, 64, 93. και ινα μη συμμαχουσι 106. τοῖς πολεμοῦσιν αὐτούς] τοις πολεμωσιν αυτους III. + και τας πολεις αυτων και την χωραν αυτων 19. τοις πολεμουσιν προς αυτους 23. τοις προς αυτους πολεμουσιν 55. τοις πολεμουσιν αυτοις 93.

XX. δέξασθαι] præmitt. και 64, 93. δέξασθαι τὴν ἀσπίδα παρ' αὐτῶν] παρ' αυτων δεξασθαι την ασπιδα 55.

Digitized by Google

τὴν ἀσπίδα παρ' αὐτῶν. Εἴ τινες οὖν λοιμοὶ διαπεφεύγασιν ἐκ τῆς χώρας αὐτῶν πρὸς ὑμᾶς, 21.
παράδοτε αὐτοὺς Σίμωνι τῷ ἀρχιερεῖ, ὅπως ἐκδικήσῃ ἐν αὐτοῖς κατὰ τὸν νόμον αὐτῶν. Καὶ τὰ 22.
αὐτὰ ἔγραψε Δημητρίῳ τῷ βασιλεῖ, καὶ Ἀττάλῳ, Ἀριαράθῃ, καὶ Ἀρσάκῃ, Καὶ εἰς πάσας τὰς 23.
χώρας, καὶ Σαμψάμῃ, καὶ Σπαρτιάταις, καὶ εἰς Δῆλον, καὶ εἰς Μύνδον, καὶ εἰς Σικυῶνα, καὶ εἰς
τὴν Καρίαν, καὶ εἰς Σάμον, καὶ εἰς τὴν Παμφυλίαν, καὶ εἰς τὴν Λυκίαν, καὶ εἰς Ἁλικαρνασσὸν,
καὶ εἰς Ῥόδον, καὶ εἰς Φασηλίδα, καὶ εἰς Κῶ, καὶ εἰς Σίδην, καὶ εἰς Ἄραδον, καὶ εἰς Γόρτυναν,
καὶ Κνίδον, καὶ Κύπρον, καὶ Κυρήνην. Τὸ δὲ ἀντίγραφον αὐτῶν ἔγραψαν Σίμωνι τῷ ἀρχιερεῖ. 24.
Ἀντίοχος δὲ ὁ βασιλεὺς παρενέβαλεν ἐπὶ Δωρὰ ἐν τῇ δευτέρᾳ, προσάγων διαπαντὸς αὐτῇ τὰς 25.
χεῖρας, καὶ μηχανὰς ποιούμενος, καὶ συνέκλεισε τὸν Τρύφωνα τοῦ μὴ εἰσπορεύεσθαι, καὶ ἐκπορ-
εύεσθαι. Καὶ ἀπέστειλεν αὐτῷ Σίμων δισχιλίους ἄνδρας ἐκλεκτοὺς συμμαχῆσαι αὐτῷ, καὶ ἀργύ- 26.
ριον καὶ χρυσίον, καὶ σκεύη ἱκανά. Καὶ οὐκ ἠβούλετο αὐτὰ δέξασθαι, ἀλλ' ἠθέτησε πάντα ὅσα 27.
συνέθετο αὐτῷ τὸ πρότερον, καὶ ἠλλοτριοῦτο αὐτῷ. Καὶ ἀπέστειλε πρὸς αὐτὸν Ἀθηνόβιον ἕνα 28.
τῶν φίλων αὐτοῦ κοινολογησάμενον αὐτῷ, λέγων, Ὑμεῖς κατακρατεῖτε τῆς Ἰόππης καὶ Γαζάρων
καὶ τῆς ἄκρας τῆς ἐν Ἱερουσαλὴμ, πόλεις τῆς βασιλείας μου. Τὰ ὅρια αὐτῶν ἠρημώσατε, καὶ 29.
ἐποιήσατε πληγὴν μεγάλην ἐπὶ τῆς γῆς, καὶ ἐκυριεύσατε τόπων πολλῶν ἐν τῇ βασιλείᾳ μου.
Νῦν οὖν παράδοτε τὰς πόλεις ἃς κατελάβεσθε, καὶ τοὺς φόρους τῶν τόπων ὧν κατεκυριεύσατε ἐκ- 30.
τὸς τῶν ὁρίων τῆς Ἰουδαίας. Εἰ δὲ μὴ, δότε ἀντ' αὐτῶν πεντακόσια τάλαντα ἀργυρίου, καὶ τῆς 31.
καταφθορᾶς ἧς κατεφθάρκατε, καὶ τῶν φόρων τῶν πόλεων ἄλλα τάλαντα πεντακόσια· εἰ δὲ μὴ,
παραγενόμενοι ἐκπολεμήσομεν ὑμᾶς. Καὶ ἦλθεν Ἀθηνόβιος φίλος τοῦ βασιλέως εἰς Ἱερουσαλὴμ, 32.
καὶ εἶδε τὴν δόξαν Σίμωνος, καὶ κυλικεῖον μετὰ χρυσωμάτων, καὶ ἀργυρωμάτων, καὶ παράστασιν
ἱκανὴν, καὶ ἐξίστατο, καὶ ἀπήγγειλεν αὐτῷ τοὺς λόγους τοῦ βασιλέως. Καὶ ἀποκριθεὶς Σίμων εἶπεν 33.
αὐτῷ, Οὔτε γῆν ἀλλοτρίαν εἰλήφαμεν, οὔτε ἀλλοτρίων κεκρατήκαμεν, ἀλλὰ τῆς κληρονομίας τῶν

XXI. Εἴ τινες οὖν] οιτινες ουν 44, 71. παράδοτε αὐτοὺς] παραδωτες αυτους (corr. παραδοτες) 62. παρεδωκεν αυτους (mendose) 71. Σίμωνι] præmitt. τῷ Alex. τῷ ἀρχιερεῖ] τω ιερει 106. ὅπως ἐκδικ. ἐν αὐτοῖς] οπως εκδικ. αυτους 44, 55, 62, 71, 74, 106, 134, 243. Compl. Alex. τὸν νόμον αὐτῶν] τον νομον αυτου 52, 74.

XXII. Καὶ τὰ αὐτὰ] και ταυτα III, 62, 71, 74, 106, 134, 243. Compl. Ald. ἔγραψε] εγραψαν 19. εγραψαμεν 64, 106. Δημητρίῳ τῷ βασιλεῖ] τω Δημητριω βασιλει 62. ∧ τῳ 93, 106. Δημητριος τω βασιλει 134, 243. Compl. Ald. καὶ Ἀττάλῳ] και Απολω 55. Ἀριαράθῃ] και Αραθη III, 23, 55, 74, 106, 134, 243. Compl. Ald. και Αριαθη 62. præmitt. και 64, 93. Alex. Αραθη 71.

XXIII. καὶ Σαμψάμῃ] και Μεσανισση 55. και Σαμψακη 106. Ald. Alex. καὶ εἰς Μύνδον] και εις Μυδον 93. και εις Μωδον 106. καὶ εἰς Σικυῶνα] και εις Συκιωνα 55. ∧ καὶ Ald. καὶ εἰς τὴν Καρίαν] και εις την Καριδα III, 62, 74, 106, 134, 243. Compl. εις Καριδα 71. καὶ εἰς τὴν Παμφυλίαν] ∧ την 23, 55, 64, 93, 106. ∧ εἰς Compl. καὶ εἰς τὴν Λυκίαν] ∧ την 23, 55, 62, 64, 93. και εις Σελευκειαν 106. habet εἰς τὴν in charact. minore Alex. καὶ εἰς Ῥόδον] ∧ 62, 71, 74, 106, 134, 243. καὶ εἰς Ῥόδ. καὶ εἰς Φασ.] ponit post Ἄραδον Alex. καὶ εἰς Φασηλίδα] και εις την Βασιλειδαν III. και εις Φασηλαδα 23. και εις την Φασηλιδα (62. et ponit statim post Αραδον) Alex. ∧ 71, 106. και εις Φασιλιδα 74. (134. corr. Φασηλιδα et ponit statim post Αραδον) Ald. ponit statim post Αραδον 243. Compl. καὶ εἰς Πασιλὶ 9 Codices Sergii. καὶ εἰς Κῶ] και εις Κωαν 55. ∧ και (et sic infra præter ult.) 71. και εις Κωκ 106. καὶ εἰς Ἄραδον] και Αραδον (et ponit post Κυπρον) 19, 55, 93. ∧ 64. Ald. εις Αραβον, εις Φασιλιδα 71. και εις Αδαρον, και εις Δορον, και εις την Βασιλιδα 106. καὶ εἰς Γόρτυναν] και Γορτυνα 23. ∧ εις 55, 62, 106. εις Γορτινα 71. και εις Γορτυνα 93. habet εἰς in char. min. Alex. καὶ Κνίδον] ∧ 106. καὶ Κυρήνην] και Σμυρνην 23.

XXIV. αὐτῶν] τουτων 19, 23, 55, 62, 93, 106. ἔγραψαν] ἔγραψεν 23, 62. εγραψα 93. εγραψαμεν 106.

XXV. ὁ βασιλεὺς] ∧ 44. ἐπὶ Δωρᾶ] εν Δωρα 93. ἐν τῇ δευτέρᾳ] εν τη ημερα τη δευτερα 19. 64. εν τη ημερα δευτερα 93. προσάγων διαπαντὸς αὐτῇ] προσαγων αυτη διαπαντος 19, 64, 93. προσαγων διαπαντος αυτω 74. καὶ μηχανὰς ποιούμενος] και ποιουμενος μηχανας 19, 64, 93. τοῦ μὴ εἰσπορ. καὶ ἐκπορ.] του μη εκπορ. και εισπορ. 23, 93. sic, absque μη, 106. ∧ και εκπορ. 55. ∧ μη 62, 71, 74, 134, 243. Compl. ∧ εισπορ. και 64. habet μὴ in charact. minore Alex.

XXVI. δισχιλ. ἄνδρας ἐκλεκτοὺς] ∧ εκλεκτους 52. καὶ σκεύη ἱκανά] + επεμψεν 55.

XXVII. αὐτὰ δέξασθαι] αποδεξασθαι 55. πάντα—τὸ πρότερον] ∧ cum intermed. 71. ὅσα συνέθετο] οσα εσυνεθετο III. οσα συνεθεντο 44. αὐτῷ τὸ πρότερον] αυτο το προτερον 93. τὸ πρότερον] ∧ το 74, 106. καὶ ἠλλοτριοῦτο αὐτῷ] και ηλλοτριουτο αυτου 23. ∧ 55.

XXVIII. Καὶ ἀπέστειλε πρὸς αὐτὸν] και απεστειλε αυτω 19, 64, 93. Ἀθηνόβιον] ponit post αὐτοῦ 19, 64, 93. ἕνα τῶν φίλων αὐτοῦ] ∧ 71. κοινολογησάμενον αὐτῷ] κοινολογησομενον αυτω 44, 71, 93. 106, 134, 243. Compl. Alex. κοινολογησθησομενον αυτω 55. λέγων] ∧ 71. Ὑμεῖς κατακρατεῖτε] υμεις δε κατακρατειτε 64. τῆς Ἰόππης καὶ Γαζάρων] της Ιοππης και Γαζαρηνων III. της Ιοππης και Γαδαρων 64. Ald. τῆς Ἰόππης] της πολεως Ιοππης 55. καὶ τῆς ἄκρας] και τας ακρας 106. τῆς ἐν Ἱερουσαλὴμ] ∧ της 106. habet τῆς in charact. minore Alex. πόλεις τῆς βασιλ. μου] ∧ 71.

XXIX. Τὰ ὅρια—γῆς] ∧ cum intermed. 71. τόπων πολλῶν] τοπων μεγαλων και πολλων 55.

XXX. πόλεις—τόπων] πόλεις χώρας καὶ κλίτη καὶ φόρους αὐτῶν 6 Codices Sergii. καὶ τοὺς φόρους &c. ad fin. com.] και τους φορους οὓς ελαβετε 71. ἐκτὸς τῶν ὁρίων] των οριων των εκτος 44, 52, 74, 106, 134, 243. Compl. præmitt. των 55. των οριων εκτος 62. + τῶν ἐκτὸς Ald. habet ἐκτὸς in charact. minore Alex. τῆς Ἰουδ.] præmitt. τῶν Alex.

XXXI. Εἰ δὲ μὴ 1°] ∧ 44. ἀντ' αὐτῶν] ∧ 64. αυτοις 106. καὶ τῆς καταφθορᾶς—πεντακόσια] και δια την καταφθοραν των τοπων αλλα πεντακοσια ταλαντα αργυριου 71. καὶ τῶν φόρων] και τον φορον 44. τῶν πόλεων] των τοπων 44, 74, 134. Compl. Ald. præmitt. και 106. ἄλλα] ἄλλα ἔτι 2 Codices Sergii. εἰ δὲ μὴ ult.] εἰ δ' ουν 71. ἐκπολεμήσομεν ὑμᾶς] εκπολεμησουσιν υμας III. εκπολεμησωμεν υμας 44, 93. (134. corr.)

XXXII. Καὶ ἦλθεν] ∧ ηλθεν 19. φίλος τοῦ βασιλέως] præmitt. ὁ 19, 64, 93. καὶ κυλικεῖον] και κυλικα χρυσην 19, (64. Ald. scr. κυκλικα) 93. και κυλικιον 44, 74, 106, 134, 243. κυλικια 71. μετὰ χρυσωμ. καὶ ἀργυρωμ.] χρυσα, και αργυρα 71. καὶ παράστασιν ἱκανὴν] και παραστασιν μεγαλην 71. καὶ ἐξίστατο] εξισταντο 62. καὶ ἀπήγγειλεν αὐτῷ] και απηγγειλεν αυτοις III. και απηγγειλεν Σιμωνι 19, 64, 93. ∧ αυτω 71.

XXXIII. Καὶ ἀποκριθεὶς—αὐτῷ] και ειπε Σιμων 71. εἶπεν αὐτῷ] ∧ αυτω 44. οὔτε ἀλλοτρίων] ουτε αλλοτριαν 106. κεκρατήκα-

Digitized by Google

ΚΕΦ. XV.

34. πατέρων ἡμῶν, ὑπὸ δὲ ἐχθρῶν ἡμῶν ἔν τινι καιρῷ ἀκρίτως κατεκρατήθη. Ἡμεῖς δὲ καιρὸν ἔχοντες
35. ἀντεχόμεθα τῆς κληρονομίας τῶν πατέρων ἡμῶν. Περὶ δὲ Ἰόππης καὶ Γαζάρων ὧν αἰτεῖς, αὗται
ἐποίουν ἐν τῷ λαῷ πληγὴν μεγάλην κατὰ τὴν χώραν ἡμῶν, τούτων δώσομεν τάλαντα ἑκατόν· καὶ
36. οὐκ ἀπεκρίθη αὐτῷ Ἀθηνόβιος λόγον. Ἀπέστρεψε δὲ μετὰ θυμοῦ πρὸς τὸν βασιλέα, καὶ ἀπήγγει-
λεν αὐτῷ τοὺς λόγους τούτους, καὶ τὴν δόξαν Σίμωνος, καὶ πάντα ὅσα εἶδε· καὶ ὠργίσθη ὁ βασιλεὺς
37. 38. ὀργὴν μεγάλην. Τρύφων δὲ ἐμβὰς εἰς πλοῖον ἔφυγεν εἰς Ὀρθωσιάδα. Καὶ κατέστησεν ὁ βασι-
λεὺς τὸν Κενδεβαῖον στρατηγὸν τῆς παραλίας, καὶ δυνάμεις πεζικὰς καὶ ἱππικὰς ἔδωκεν αὐτῷ.
39. Καὶ ἐνετείλατο αὐτῷ παρεμβαλεῖν κατὰ πρόσωπον τῆς Ἰουδαίας· καὶ ἐνετείλατο αὐτῷ οἰκοδομῆ-
σαι τὴν Κεδρὼν, καὶ ὀχυρῶσαι τὰς πύλας, καὶ ὅπως πολεμήσῃ τὸν λαόν· ὁ δὲ βασιλεὺς ἐδίωκε
40. τὸν Τρύφωνα. Καὶ παρεγενήθη Κενδεβαῖος εἰς Ἰάμνειαν, καὶ ἤρξατο τοῦ ἐρεθίζειν τὸν λαὸν, καὶ
41. ἐμβατεύειν εἰς τὴν Ἰουδαίαν, καὶ αἰχμαλωτίζειν τὸν λαὸν καὶ φονεύειν. Καὶ ᾠκοδόμησε τὴν Κε-
δρῶν· καὶ ἔταξεν ἐκεῖ ἱππεῖς καὶ δυνάμεις, ὅπως ἐκπορευόμενοι ἐξοδεύωσι τὰς ὁδοὺς τῆς Ἰουδαίας,
καθὰ συνέταξεν αὐτῷ ὁ βασιλεύς.

ΚΕΦ. XVI.

1. ΚΑΙ ἀνέβη Ἰωάννης ἐκ Γαζάρων, καὶ ἀπήγγειλε Σίμωνι τῷ πατρὶ αὐτοῦ ἃ συνετέλει Κενδεβαῖος.
2. Καὶ ἐκάλεσε Σίμων τοὺς δύο υἱοὺς αὐτοῦ τοὺς πρεσβυτέρους Ἰούδαν καὶ Ἰωάννην, καὶ εἶπεν αὐτοῖς,
Ἐγὼ καὶ οἱ ἀδελφοί μου, καὶ ὁ οἶκος τοῦ πατρός μου, ἐπολεμήσαμεν τοὺς πολεμίους Ἰσραὴλ ἀπὸ
νεότητος ἕως τῆς σήμερον ἡμέρας, καὶ εὐωδώθη ἐν ταῖς χερσὶν ἡμῶν ῥύσασθαι τὸν Ἰσραὴλ πλεο-
3. νάκις. Νῦν δὲ γεγήρακα, καὶ ὑμεῖς δὲ ἐν τῷ ἐλέει ἱκανοί ἐστε ἐν τοῖς ἔτεσι· γίνεσθε ἀντ' ἐμοῦ, καὶ
τοῦ ἀδελφοῦ μου, καὶ ἐξελθόντες ὑπερμαχεῖτε ὑπὲρ τοῦ ἔθνους ἡμῶν, ἡ δὲ ἐκ τοῦ οὐρανοῦ βοήθεια ἔστω
4. μεθ' ὑμῶν. Καὶ ἐπέλεξεν ἐκ τῆς χώρας εἴκοσι χιλιάδας ἀνδρῶν πολεμιστῶν, καὶ ἱππεῖς, καὶ
5. ἐπορεύθησαν ἐπὶ τὸν Κενδεβαῖον, καὶ ἐκοιμήθησαν ἐν Μωδεΐν. Καὶ ἀναστάντες τοπρωῒ ἐπορεύοντο
εἰς τὸ πεδίον, καὶ ἰδοὺ δύναμις πολλὴ εἰς συνάντησιν αὐτοῖς πεζικὴ, καὶ ἱππεῖς, καὶ ἦν χειμάῤῥους

μεν] εκρατησαμεν 44, 71. κεκληρονομηκαμεν 55. ἀλλὰ τῆς κληρονομίας] + ημων, και 74. ὑπὸ δὲ &c. ad fin. com. seq.] ∧ 71. ἔν τινι καιρῷ] ponit post ακριτως 19, 44, 62, 93, (106. scr. αν τινι) 134. Compl. Alex. ἀκρίτως κατεκ.] κατεκρατηθημεν 55. κατεκρατήθη] κατεκρατηθημεν 106.

XXXIV. τῶν πατέρων ἡμῶν] præmitt. ἡμῶν καὶ Alex.

XXXV. Περὶ δὲ Ἰόππης] ∧ δε 71. καὶ Γαζάρων] και Γαζαρηνων III. και Γαδαρων 64. και Γαζουρων 74. ὧν αἰτεῖς] ∧ 71. ∧ αιτεις 106. habet ὧν in charact. minore Alex. αὗται ἐποίουν] ∧ αυται 71. ἐν τῷ λαῷ πληγ. μεγ.] πληγ. μεγ. εν τω λαω 55. κατὰ τὴν χώραν ἡμῶν] και τῃ γῃ ημων III. και εν τη χωρα ημων 44. και τη χωρα ημων 52, 55, 62, 74, 134, 243. Compl. ∧ 71. και την χωραν ημων 93. εν τη χωρα ημων 106. τάλαντα ἑκατόν] ταλαντων εκατον 62. αὐτῷ Ἀθηνόβιος] ∧ 71. Ἀθηνόβιος λόγον] ∧ Αθηνοβιος 44, 55, 74, 106, 134, 243. Compl. λογον ὁ Αθηνοβιος 62. præmitt. ὁ 93. habet Ἀθηνόβιος in charact. minore Alex.

XXXVI. Ἀπέστρεψε δὲ] αλλ' απεστρεψε 71. πρὸς τὸν βασιλέα] εις τον βασιλεα 44. τοὺς λόγους τούτους] ταυτα 44. παντα 71. καὶ τὴν δόξαν—εἶδε] ∧ cum intermed. 71. ὁ βασιλεὺς] ∧ 71. ὀργὴν μεγάλην] οργη μεγαλη 19, 64, 93. θυμω μεγαλω 71.

XXXVII. ἔφυγεν] διεφυγεν 106. εἰς Ὀρθωσιάδα] εις Ορθωσιαν 19, 23, 55, 62, 64, 93, 106. Alex.

XXXVIII. τὸν Κενδεβαῖον] τον Κανδεβεον 106. στρατηγὸν] επιστρατηγον III, 19, 23, 44, 62, 93, 243. επι στρατηγον 74, 106, 134. ὑποστράτηγον Ald. Alex. πεζικὰς] πεζας 106. πεζικὰς καὶ ἱππικὰς] ιππικας και πεζικας 44. καὶ ἱππικὰς] ∧ 23, 93. ἔδωκεν αὐτῷ] ∧ 71.

XXXIX. Καὶ ἐνετείλατο αὐτῷ 1°] ειπων αυτω 71. ∧ 93. παρεμβαλεῖν] ponit post Ιουδαιας 71. παρεμβολην 93. παρεμβάλλειν Alex. ἐνετείλατο αὐτῷ 2°] ∧ 71. τὴν Κεδρὼν] την Χεβρων 19, 64. την Χευρων 93. την Κεδρον (sic infra) 106. καὶ ὀχυρῶσαι τὰς πύλας] και οχυρωση τας πυλας 19. ∧ 71. καὶ ὀχυρῶσαι τὰς πόλεις Alex. καὶ ὅπως πολεμήσῃ] και πολεμειν 44, 71. και οπως πολεμη 62, 74, 134, 243. Compl. Alex. ∧ και 64. Ald. και οπως πολεμει 106.

XL. Καὶ παρεγενήθη] και παρεγενετο 19, 64, 93. Κενδεβαῖος] præmitt. ὁ 55. εἰς Ἰάμνειαν] εις Ιαμνιαν 23, 64. εἰς κλίτη Ἰαμνιὰ 10 Codices Sergii. καὶ ἤρξατο—λαὸν] ∧ cum intermed. 71. τοῦ ἐρεθίζειν] ∧ του 93. καὶ αἰχμαλωτίζειν τὸν λαὸν] και αιχμαλωτευειν 19, 64, 93. και αιχμαλωτευειν τον λαον 55. ∧ τον λαον 71.

XLI. Καὶ ᾠκοδόμησε] + Κενδεβαιος 19, 93. + Κενδεβεος 64. τὴν Κεδρών] την Κεδρω III. την Κεβρων 19. την Χεβρων 64. την Χευβρων 93. καὶ ἔταξεν ἐκεῖ] και απεστειλεν εκει 23. και απεταξεν εκει 62, 93. και επεταξεν εκει 64. και απεταξαν εκει 106. ἱππεῖς καὶ δυνάμεις] ιππεις και δυναμιν 23. ὅπως ἐκπορευόμενοι] οπως εισπορευομενοι 106. ὅπως ἐκπορευόμενοι &c. ad fin. com.] οπως μαχονται την Ιουδαιαν 71. ἐξοδεύωσι] εξοδευσουσι 93. ὁ βασιλεύς] ∧ ὁ Compl.

I. ἐκ Γαζάρων] εκ Γαδαρων 64. ἃ συνετέλει] ἃ συνετελέκει (sic) 55. οσα συνετελεσε 64. Ald. ἃ συνετελεσε 93.

II. τοὺς πρεσβυτέρους] ∧ 71. ∧ τους 106. καὶ ὁ οἶκος τοῦ πατρός μου] ∧ 71. τοὺς πολεμίους Ἰσραὴλ] τους πολεμους Ισραηλ 23, 55, 74. Alex. ἀπὸ νεότητος] εκ νεοτητος ημων 74. ἀπὸ νεότητος—ἡμέρας] ∧ cum intermed. 71. ἕως τῆς σήμερον] præmitt. και 74. ῥύσασθαι] ρυσθηναι 55. ῥύσ. τὸν Ἰσραὴλ πλεον.] ∧ 71. ῥύσασθαι πολλὰ τὰ ἔθνη Ἰσραηλιτῶν 5 Codices Sergii. sic, nisi πολὺ τὸ ἔθνος, 7 Codices Sergii. πλεονάκις] πολλακις 55.

III. Νῦν δὲ γεγήρακα] νυν ουν γεγηρακα 55. καὶ ὑμεῖς δὲ] ∧ και 55, 106. ∧ δε 64, 71, 93. ἐν τῷ ἐλέει] ponit statim post ικανοι εστε 55. εν τω ελεω 64. (93. scr. ελαιω) ∧ 71. γίνεσθε] γενεσθε 106. καὶ τοῦ ἀδελφοῦ μου] ∧ 71. καὶ ἐξελθόντες] ∧ εξελθοντες 71. ὑπερμαχεῖτε] υπερμαχητε 93. ὑπὲρ τοῦ ἔθνους ἡμῶν] ∧ υπερ 44. ἡ δὲ ἐκ τοῦ οὐρανοῦ &c. ad fin. com.] ∧ 74. ἔστω μεθ' ὑμῶν] ητω μεθ' υμων 44, 62, 71, 106, 134. Compl. Alex.

IV. Καὶ ἐπέλεξεν] + Ιωαννης 19, 64, 93. και επελεξαν 23, 62, 106. και εξελεξεν 44. ἐκ τῆς χώρας] ∧ 23, 71. χιλιάδας] χιλιαδες 106. ἐν Μωδεΐν] εν Μωδιν 23. εν Μωδεειμ 64, 93. εν Μωδαειμ 106. Alex.

V. Καὶ ἀναστάντες τὸ πρωῒ] και το πρωι αναστάντες 44. ∧ αναστάντες 71. ἐπορεύοντο] επορευθησαν 55. ευρεθησαν 106. εἰς συνάντησιν αὐτοῖς] εις συναντησιν αυτου 93. πεζικὴ] πεζοι 71. πεζικης (scr. πεζηκης) 93. πεζικοι 106. Alex. ἦν χειμάῤῥους] tr. 23, 44, 55, 62, (71. scr. χειμαρρος) 106, 134, 243. Compl. Alex. ἀναμέσον] ἀναμέσου (sic) 106.





Digitized by Google

19. αὐτῶν, καὶ τὰς πόλεις. Καὶ ἀπέστειλεν ἑτέρους εἰς Γάζαρα ἆραι τὸν Ἰωάννην, καὶ τοῖς χιλιάρ-
χοις ἀπέστειλεν ἐπιστολὰς παραγενέσθαι πρὸς αὐτὸν, ὅπως δῷ αὐτοῖς ἀργύριον καὶ χρυσίον καὶ
20. 21. δόματα. Καὶ ἑτέρους ἀπέστειλε καταλαβέσθαι τὴν Ἱερουσαλὴμ, καὶ τὸ ὄρος τοῦ ἱεροῦ. Καὶ προ-
δραμών τις ἀπήγγειλεν Ἰωάννῃ εἰς Γάζαρα, ὅτι ἀπώλετο ὁ πατὴρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ,
22. καὶ ὅτι ἀπέσταλκε καὶ σὲ ἀποκτεῖναι. Καὶ ἀκούσας ἐξέστη σφόδρα· καὶ συνέλαβε τοὺς ἄνδρας τοὺς
23. ἐλθόντας ἀπολέσαι αὐτὸν, καὶ ἀπέκτεινεν αὐτοὺς, ἐπέγνω γὰρ ὅτι ἐζήτουν αὐτὸν ἀπολέσαι. Καὶ
τὰ λοιπὰ τῶν λόγων Ἰωάννου, καὶ τῶν πολέμων αὐτοῦ, καὶ τῶν ἀνδραγαθιῶν αὐτοῦ ὧν ἠνδραγά-
24. θησε, καὶ τῆς οἰκοδομῆς τῶν τειχέων ὧν ᾠκοδόμησε καὶ τῶν πράξεων αὐτοῦ, Ἰδοὺ ταῦτα γέγραπται
ἐπὶ βιβλίῳ ἡμερῶν ἀρχιερωσύνης αὐτοῦ, ἀφ᾽ οὗ ἐγενήθη ἀρχιερεὺς μετὰ τὸν πατέρα αὐτοῦ.

XIX. εἰς Γάζαρα] εις Ιαζαρα 64. εἰς Γάζαρ Ald. καὶ τοῖς χιλιάρχοις] και τοις χιλιαρχουσιν 93. καὶ τοῖς χιλιάρχοις &c. ad fin. com.] ∧ 71. παραγενέσθαι] παραγενηθηναι 55. δῷ αὐτοῖς] ∧ δῷ 55. δω αυτους χωρας 93. ἀργύριον, καὶ χρυσίον] χρυσιον και αργυριον 44.

XX. Καὶ ἑτέρους] και πεζους 55. ἀπέστειλε] ∧ 71. απεστειλαν 106. καὶ τὸ ὄρος τοῦ ἱεροῦ] ∧ 71.

XXI. Καὶ προδραμών τις] και προσδραμων τις 64, (134. corr.) και προδραμοντες 93. ∧ τις 106. habet τις in charact. minore Alex. ἀπήγγειλεν] απηγγειλαν 93. Ἰωάννῃ] Ιωαννην 23, 62, 106. ὅτι ἀπώλετο &c. ad fin. com.] ∧ 71. ὁ πατὴρ αὐτοῦ] αυτου ὁ πατηρ 55. καὶ οἱ ἀδελφοὶ αὐτοῦ] ∧ αυτου 55. ἀπέσταλκε] απεσταλκαν 106.

XXII. Καὶ ἀκούσας] + Ιωαννης 19, 93. + ὁ Ἰωαννης 64. καὶ συνέλαβε τοὺς ἄνδρας] και συνελαβετο τους ανδρας 62. τοὺς ἐλθοντας] + επ᾽ αυτον 19, 64. τους συνελθοντας προς αυτον 52. ἀπόλεσαι αὐτὸν] απολεσαι αυτους 23. ∧ 52. επ᾽ αυτον 93. καὶ ἀπέκτεινεν αὐτοὺς] ∧ 23. ἐπέγνω &c. ad fin. com.] ∧ 71. ἐπέγνω γὰρ] + ὁ Ιωαννης 64, 93. ἔγνω γὰρ Alex. ὅτι ἐζήτουν] οτι εζητουσαν III. οτι παραγεγονασιν και ζητουσιν 55. αὐτὸν ἀπόλεσαι] αυτον αποκτειναι 19, 64, 93. Ald. tr. 55.

XXIII. ὧν ἠνδραγάθησε] ων ηνδραγαθην III. ∧ 71. καὶ τῆς οἰκοδομῆς] και της ῳκοδομης III. καὶ τῶν πράξεων αὐτοῦ] ∧ 52.

XXIV. γέγραπται] γεγραμμενα 52. ἐπὶ βιβλίῳ] επι βιβλιου 19, 52, 64, 93, 106. εν βιβλιω 55. επι βιβλιων 134. Compl. ἡμερῶν] ∧ 52. ἀφ᾽ οὗ ἐγενήθη] αφ᾽ οὗ εγενετο 19, 64, 93. μετὰ τὸν πατέρα αὐτοῦ] αντι του πατρος αυτου μετ᾽ αυτον 19, 64, 93. μετα τον πατερα εαυτου 55.

Digitized by Google

Digitized by Google